UNIVERSITÄTS BIBLIOTHEK WUPPERTAL
BERGISCHE UNIVERSITÄT WUPPERTAL

Universitätsbibliothek Wuppertal

Iulianu Autokratoros Ta Sōzomena, Kai Tu En Agiois Kyrillu Archiepiskopu Alexandreias Pros Ta Tu En Atheois Iulianu Logoi Deka

Julian <Römisches Reich, Kaiser>

Lipsiae, Anno MDCXCVI.

Epistolæ

Nutzungsrichtlinien Das dem PDF-Dokument zugrunde liegende Digitalisat kann unter Beachtung des Lizenz-/Rechtehinweises genutzt werden. Informationen zum Lizenz-/Rechtehinweis finden Sie in der Titelaufnahme unter dem untenstehenden URN.
Bei Nutzung des Digitalisats bitten wir um eine vollständige Quellenangabe, inklusive Nennung der Universitätsbibliothek Wuppertal als Quelle sowie einer Angabe des URN.

urn:nbn:de:hbz:468-1-1694

Visual Library

ΙΟΥΛΙΑΝΟΥ
ΑΥΤΟΚΡΑΤΟΡΟΣ
ΕΠΙΣΤΟΛΑΙ.

JVLIANI IMP.
EPISTOLÆ.

Interprete PETRO MARTINIO.

α.

ΕΓΩ μὲν ᾤμην σε τ̃ Νεῖλον πάλαι καλειληφέναι. καὶ πολλάκις εἰς μνήμην λαμβάνων τοῦτο δὴ τὸ εἰωθὸς ἐμοὶ, ὡς εὐδαίμονες, ἔλεγον, τῶν Αἰγυπτίων οἱ παῖδες, πάλαι μὲν τ̃ Νεῖλον ἔχοντες χορηγὸν τῶν ὅσα φέρειν οἶδεν ἐκεῖνος· νυνὶ δὲ καὶ τὴν σὴν μοῦσαν προσειληφότες οὐδὲν ἀτιμοτέραν τοῦ Νείλου, παρ' ἐμοὶ δὲ κριτῇ, τάχα καὶ μείζω. ὁ μὲν γὰρ τὸν χώραν αὐτῶν ἐπιῤῥέων πλουτεῖν ἐπιτρέπει· σὺ δὲ ταῖς νέων ψυχαῖς τὴν γλῶτταν ἐπαφιεὶς, ἐπὶ τ̃ τῆς ἐπιστήμης πλοῦτον ἰθύνεις, οὐδὲν ἔλαττον ἢ πάλαι Πυθαγόρας αὐτοῖς ἐπιδημῶν, καὶ μετ' ἐκεῖνον Πλάτων. Ταῦτα μὲν ἐλογιζόμην· σὺ δὲ οὐ μακρὰν ἀπέχων ἐλάνθανες. ὡς δὲ ἧκεν ὁ τὴν ἐπιστολὴν ἐπιδοὺς, τὸ μὲν πρῶτον θαυμάζων, ἀπάτην ἡγούμην τὸ πρᾶγμα, καὶ οὐκ ἐπειθόμην τοῖς ὀφθαλμοῖς. ὡς δὲ τοῖς γεγραμμένοις ἐντυχὼν, ἐπείσθην μὴ ἂν ἄλλου τὰς χάριτας, ἥσθην πῶς δοκεῖς; ἐγγυτέρας γὰρ αὐτὰς ἐμοὶ τοῦ σε πάλιν ἰδεῖν ἡγούμην ἐλπίδας, καὶ συνέχαιρον εἰκότως, εἰ τὴν σὴν πατρίδα ζηλωτὴν

I.

A EGO te jamdudum ad Nilum venisse arbitrabar. Atque illud persæpe memoria repetens, quod dicere consuevi: O fortunatos Ægyptios, ajebam, qui Nilum habeant jampridem omnium rerum præbitorem, quas is afferre solet; sed nunc multo beatiores, qui Musis tuis præterea fruantur, nihil inferioribus Nilo, vel (ut ego sentio) fortassis etiam majoribus. Ille enim
B terram eorum irrigando divites eos efficit; tu vero lingua tua mentes adolescentum excitando, ad veras opes sapientiæ dirigis, non minus quam olim Pythagoras, cum ad eos se contulit, & post eum Plato. Ergo hæc mecum tacitus disserebam, cum tu interea non longe absens nos lateres. Itaque ut mihi allatæ sunt litteræ tuæ, primum mirabar, dolumque esse suspicabar, neque satis meis oculis credebam: postea vero cum litteras
C perlegissem, tantamque suavitatem orationis non posse ab alio quam te prodire intelligerem, quanta me affectum lætitia fuisse putas? Videbam enim spem tui adventus appropinquare, saneque pro eo, ac debe-

ac debebam, lætabar: quod patriam tuam ad tempus certe aliquod *felicem* velles oſtendere. Quam tu quidem ludens mihi videris accuſare. Quamvis enim negare non poſſim, cælum tale eſſe quale prædicas, & aquam bibentibus maritimam videri, & panes fere hordeaceos eo afferri; (quæ tu omnia, charitate patriæ impeditus, verbis non exaggeraſti) attamen, heus vir optime, gratia eſt habenda huic, quæ tuum animum ad Philoſophiam excoluit. Vide ut aliquando Ægyptiorum delicias contemnere videare. Sapientem illum Ulyſſem, cum parvam, & aſperam, denique Ithacam inſulam incoleret, tamen neque Calypſo, neque melioris naturæ commutatio inducere potuit, ut Ithacam hiſce omnibus non anteponeret. Sed neque Spartiates ille, opinor, cum domeſticum victum recordaretur, Spartam accuſavit. Verum ſcio quæ te res ad accuſandum incitet. Pecuniæ cupidus es, o bone, cumque tantillum a lucro abes, heu, heu, exclamas, & Nilum opesque illinc manantes requiris. Hæc res te, ſicuti ais, hoſpitem facit, & ut corpore ſis nihilo elegantiore quam Chærephon. Credo autem te a Nympha quapiam amica detineri, tandemque ægre, quantas vires amor habeat, ſentire. Sed hæc, ſicuti Veneri libitum fuerit, ita ſunto. Tu interea valebis; atque utinam brevi te, & quidem prolis parentem, ſalutemus.

μικρὸν γῆν ἀπέφηνας χρόνον. Σὺ δέ μοι δοκεῖς αὐτῆς παίζων καληγορεῖν. ὅτι μὲν γὰρ τὸν ὑπὲρ κεφαλῆς ἀέρα οἷον ἔφης εἶναι συμβαίνει, καὶ ὡς τὸ ὕδωρ πίνοντας εἰς μνήμην ἄγει θαλάττης, καὶ ἄρτῳ ὑμῖν ἐκ κριθῆς ἥκει μεμιγμένῳ, ὀκ ἀρνητέον· καὶ ἔλαττον ἐτραγῴδηταί σοι ταῦτα φιλοῦσι τὸ πατρίδι· ἀλλ' ὅμως, ὦ βέλτιστε, χάριν ἐχρῆν εἰδέναι ταύτῃ πρὸς Φιλοσοφίαν ἀσκήσῃ τὴν γνώμην. ὅπως ἂν εἰδείης ποτὲ τρυφῆς Αἰγυπτίας ὑπεροράν. Ὀδυσσέα δὲ τὸν σοφὸν, νῆσον οἰκοῦντα μικρὰν ὁμοῦ καὶ τραχεῖαν· καὶ τί γὰρ ἄλλο ἢ τὴν Ἰθάκην; ὅτε Καλυψὼ πέπεικεν, ὅτε Φύσεως ἐπὶ τὸ κρεῖττον μεταβολὴ, τὸ μὴ τὴν Ἰθάκην ἀντὶ τούτων αἱρεῖσθαι· ἀλλ' οὐδὲ Σπαρτιάτης, οἶμαι, τὴν οἴκοι δίαιταν ἐννοῶν, τὴν Σπάρτην ἐμέμψατο. Ἀλλ' οἶδα πόθεν ποτὲ κατηγορεῖν ἐπήρθης. Φιλοχρημάτως ἔχεις, ὦ λῷστε, εἶτα βραχύ τι τοῦ λήμματος ἀποσᾶς, ἰὼ ἰὼ βοᾶς, καὶ τὸν Νεῖλον πολλάκις, καὶ τὸν ἐκεῖθεν πλοῦτον ἀναπαλεῖς. τοῦτό που σε ξένον, ὡς αὐτὸς ἔφης, ποιεῖ, καὶ τὸ σῶμα τοῦ Χαιρεφῶντος οὐδὲν ἀσειότερον ἔχειν. Οἶμαι δέ σε καὶ νύμφης ἐρωτικῆς περιέχεσθαι· καὶ πειρᾶσθαι μόλις ὁπόσα δύναται πόθος. ἀλλὰ γένοιτο ταῦθ' ὅτως, ὅπως Ἀφροδίτῃ φίλον. Ἐρρώσῃ καὶ ἔρρωσο, καί σε θᾶττον προσείποιμι, καὶ παίδων παλέρα.

PROHÆRESIO.

II.

CUr ego Prohæreſium optimum virum non ſalutabo? hominem ita in dicendo copioſum & abundantem, ut flumina, cum in patentes campos influunt: hominem *æmulantem eloquentia Periclem*, niſi quod Græciam non permi-

Προαιρεσίῳ.

β.

Τί δὲ οὐκ ἔμελλον ἐγὼ Προαιρέσιον τὸν καλὸν προσαγορεύειν; ἄνδρα ἐφιέντα τοῖς λόγοις, ὥσπερ οἱ ποταμοὶ τοῖς πεδίοις ἐπαφιᾶσι τὰ ῥεύματα; καὶ ζηλοῦντα τὸν Περικλέα καλὰ τοὺς λόγους, ἔξω τοῦ συνταράτ-

τειν, καὶ συγκυκᾶν τὴν Ἑλλάδα; Θαυμάζειν δ' οὐ χρὴ, τὴν Λακωνικὴν εἰ πρός σε βραχυλογίαν μιμησαίμην. ὑμῖν γὰρ πρέπει τοῖς σοφοῖς μακροὺς καὶ μεγάλους ποιεῖσθαι λόγους· ἡμῖν δὲ ἀρκεῖ καὶ τὰ βραχέα πρὸς ὑμᾶς. Ἴσθι δῆτά μοι πολλὰ πανταχόθεν κύκλῳ πράγματα ἐπιῤῥεῖν. τῆς καθόδου τὰς αἰτίας, εἰ μὲν ἱστορίαν γράφεις, ἀκριβέστατα ἀπαγγέλλω σοι, δοὺς τὰς ἐπιστολὰς ἀποδείξεις ἐγγράφους. εἰ δ' ἔγνωκας ταῖς μελέταις, καὶ τοῖς γυμνάσμασιν εἰς τέλος ἄχρι γήρως προσκαρτερεῖν, οὐδὲν ἴσως μου τὴν σιωπὴν μέμψῃ.

A scet. Noli autem mirari, quod Laconicæ orationis brevitatem erga te imitatus fuerim. Vos enim magnos & sapientes homines decet copiosa & magnifica oratione uti; nobis satis est, si pauca ad vos scribamus. Scito igitur, res nostras in magna varietate ac vicissitudine versari: *reditus* caussas, si quidem historiam cogitas, accuratissime tibi expono, cum epistolas, tanquam demonstrationes scriptas, B ad te mitto. Sin autem te oratoriis studiis & exercitationibus ad extremam usque senectutem consumere statuis, nihil fortasse meum silentium accusabis.

Λιβανίῳ.

γ.

Ἐπειδὴ τῆς ὑποσχέσεως ἐπελάθου· τρίτη γοῦν ἐστὶ σήμερον, καὶ ὁ Φιλόσοφος Πρίσκος αὐτὸς μὲν οὐχ ἧκε, γράμματα δ' ἀπέστειλεν ὡς ἔτι χρονίσων· ὑπομιμνήσκω σε τὸ χρέος ἀπαιτῶν. Ὄφλημα δέ ἐστιν, ὡς οἶσθα, σοὶ μὲν ἀποδοῦναι ῥᾴδιον, ἐμοὶ δὲ ἥδιστον πάνυ κομίσασθαι. πέμπε δὴ τὸν λόγον, καὶ τὴν ἱερὰν συμβουλὴν, ἀλλὰ, πρὸς Ἑρμοῦ καὶ Μούσης, ταχέως. ἀλλὰ καὶ τούτων με τῶν τριῶν ἡμερῶν ἴσθι συντρίψας, εἴπερ ἀληθῆ φησιν ὁ Σικελιώτης ποιητὴς, ἐν ἤματι φάσκων τοὺς ποθοῦντας γηράσκειν. εἰ δὲ ταῦτά ἐστιν, ὥσπερ οὖν ἐστὶ, τὸ γῆρας ἡμῖν ἐτριπλασίασας, ὦ γενναῖε. Ταῦτα μεταξὺ τοῦ πράττειν ὑπηγόρευσά σοι. γράφειν γὰρ οὐχ οἷός τε ἤμην, ἀργοτέραν ἔχων τῆς γλώττης τὴν χεῖρα. καίτοι μοι καὶ τὴν γλῶτταν εἶναι συμβέβηκεν ὑπὸ τῆς ἀνασκησίας ἀργοτέραν καὶ ἀδιάρθρωτον. Ἐῤῥωσό μοι, ἀδελφὲ ποθεινότατε καὶ προσφιλέστατε.

Voss. ἐπεὶ καὶ

Theocr. Idyll. XII. init.

LIBANIO.

III.

Quandoquidem promissi tui oblitus es, (tertius enim hic dies est, neque C Priscus Philosophus venit, sed litteras misit tanquam adhuc moraturus) revoco tibi in memoriam debitum flagitando. Est autem, ut scis, ejusmodi, ut & tibi facile sit persolvere, & mihi perjucundum accipere. Mitte itaque orationem illam, unaque sacrum illud consilium, sed, per Mercurium & Musas, mitte celeriter. Sed & me scito tribus his diebus valde abs te consumtum esse; si D quidem vere ait Poëta Siculus, uno die amantes consenescere. Quod si ita est, ut certe est, senectutem jam nobis, vir egregie, triplicasti. Hæc ad te dictavi occupatus. Scribere enim ipse non poteram, quod manum lingua tardiorem habebam, Quin & lingua ipsa tardior jam est, quod eam jam diu non exercuerim. Vale, frater suavissime & charissime.

ARISTO-

A

ARISTOMENI *Philosopho.*

IV.

AN vero expectandum est, dum vocere? an priorem officio atque amicitia certare, prorsus jam extinctum est? Vide ne iniquam legem in amicitiam inducamus; si ab amicis eadem expectare conveniat, quæ vulgo a quibuslibet familiaribus expectantur. Quæret aliquis, quemadmodum amici simus, B cum ne de facie quidem inter nos noverimus? At ego vicissim quæro, qui fit ut eos qui mille annos, immo etiam bis millenos antea fuerunt, diligamus? Nempe quia boni viri erant. Et nos sane tales esse volumus. Ac tametsi quod ad me attinet, multum ab eo absumus, ut tales simus, voluntate certe proxime accedimus. Verum quid pluribus tempus consumo? Si invocatum venire oportet, venies: sin vocem expectas, habes adhortationem meam. Quocirca per Jovem hospitalem te oro, ut ad nos quamprimum venias, hominemque inter Cappadocas vere, Græcum, *hoc est*, *Gentilem*, ostendas. Nam adhuc quidem invitos nonnullos, volentes paucos, sed inscientes, sacrificare video.

" Ἀριστομένῃ Φιλοσόφῳ. *Voss.* Ἀριστοξένῳ.

δ.

Ἆρά γε χρὴ περιμένειν κλῆσιν; καὶ τὸ ἀεὶ προτιμᾶν μηδαμῶς; ἀλλ' ὅρα μὴ χαλεπὴν ταύτην εἰσαγάγωμεν τὴν νομοθεσίαν, εἰ ταῦτα χρὴ παρὰ τῶν Φίλων περιμένειν, ὅσα μὴ παρὰ τῶν ἁπλῶς, μὴ ὡς ἔτυχε, γνωρίμων. Ἀπορήσῃ τις ἐνταῦθα· πῶς δὲ οὐκ εἰδότες ἀλλήλους, ἐσμὲν Φίλοι; πῶς δὲ τοῖς πρὸ χιλίων ἐτῶν γεγονόσι, καὶ ναὶ μὰ Δία δισχιλίων; ὅτι σπουδαῖοι πάντες ἦσαν, καὶ τὸ τρόπον καλοί τε κἀγαθοί. Ἐπιθυμοῦμεν δὲ καὶ ἡμεῖς εἶναι τοιοῦτοι. εἰ μὴ τῷ εἶναι, τόγε εἰς ἐμὲ, πάμπληθες ἀπολειπόμεθα. πλὴν ἀλλ' ἴσως ἐπιθυμία τάτῃ πως ἡμᾶς εἰς τὴν αὐτὴν ἐκείνοις μερίδα. Καὶ τί τοιαῦτα ἐγὼ λήρῳ μακρότερον; εἴτε γὰρ ἄκλητον ἰέναι χρὴ, ἥξεις δήπουθεν· εἴτε καὶ κλῆσιν περιμένῃς, ἰδού σοι καὶ παράκλησις ἥκει παρ' ἡμῶν. Ἔντυχε δὴ ἡμῖν περὶ τὰ τοιαῦτα πρὸς Διὸς " ξενίου. δεῖξον ἡμῖν ἄνδρα ἐν Καππαδόκαις καθαρῶς Ἕλληνα. τέως γὰρ τοὺς μὲν βουλομένους, ὀλίγους δέ τινας ἐθέλοντας μὲν, ἀκ εἰδότας δὲ, θύειν ὁρῶ. *Voss.* Φιλίου.

JULIANUS THEODORÆ *plurimum observandæ.*

V.

LIbros omnes, quos ad me misisti, cum epistolis perlibenter accepi, a Mygdonio viro optimo mihi redditos. Et cum otii vix quicquam haberem, (Dii enim sciunt nihil me verbis minuere) hæc ad te rescripsi Tu vero da operam ut valeas, & semper ad nos tales litteras mittas.

Ἰουλιανὸς Θεοδώρᾳ τῇ αἰδεσιμωτάτῃ.

ε.

ΤΑ πεμφθέντα παρά σου βιβλία πάντα ὑπεδεξάμην, καὶ τὰς ἐπιστολὰς ἄσμενος διὰ τὸν βελτίστου Μυγδονίου. καὶ μόγις ἄγων σχολήν· ὡς ἴσασιν οἱ θεοὶ, ὃ παιζομένην λόγῳ· ταῦθα ἀνέγραψα πρός σε. Σὺ δὲ εὖ πράττοις, καὶ γράφοις ἀεὶ τοιαῦτα.

Ενδιδίῳ

Ἐνδικίῳ, ἐπάρχῳ Αἰγύπτου.

ε.

Εἰ καὶ τ ἄλλων ἕνεκα μὴ γράφεις ἡμῖν, ἀλλ' ὑπέρ γε τ τοῖς θεοῖς ἐχθρ ἐχρῆν σε γράφειν Ἀθανάσιον· καὶ ταῦτα πρὸ πολλοῦ ἤδη χρόνου τὰ καλῶς ἡμῖν ἐγνωσμένα πεπυσμένον. Ὀμνυμι δὲ τὸν μέγαν Σάραπιν, ὡς εἰ μὴ πρὸ τῶν Δεκεμβρίων Καλανδῶν ὁ θεοῖς ἐχθρὸς Ἀθανάσιος ἐξέλθοι ἐκείνης, μᾶλλον δὲ καὶ πάσης τ Αἰγύπτου, τῇ ὑπακοῇ σοι τάξῃ προτιμήσαιμι χρυσοῦ λίτρας ἑκατόν. Οἶδα δὲ πῶς εἰμὶ, βραδὺς μὲν εἰς τὸ καταγνῶναι, πολλῷ δὲ ἔτι βραδύτερος εἰς τὸ ἄπαξ καταγνοὺς ἀνεῖναι. καὶ τῇ " αὐτοῦ χειρὶ πάνυ με λυπεῖ τὸ " καταφρονεῖσθαι τοὺς θεοὺς πάντας. Οὐδὲν ἧττον ἴδοιμι, μᾶλλον δὲ ἀκούσαιμι μηδενὸς παρά σε πραχθέντος, ὡς Ἀθανάσιον ἐξεληλαμένον τῶν τ Αἰγύπτου τόπων, τ μιαρὸν, ὃς ἐτόλμησεν Ἑλληνίδας ἐπ' ἐμοῦ γυναῖκας τ ἐπισήμων βαπτίσαι, διώκεσθαι.

γρ. αὐτῆ. Voss. καταφρονεῖσθαι. μὰ τοὺς θεοὺς πάντας,

A

ECDICIO
Præfecto Ægypti.

VI.

ETsi nihil de cæteris scribis, attamen de illo Deorum hoste Athanasio scribere certe debuisti, præsertim cum præclara nostra decreta multo ante audivisses. Testor magnum Sarapin, nisi ante Calendas Decembres inimicus Deorum Athanasius ex ea urbe, vel potius ex universa Ægypto discesserit, centum auri pondo cohortem, quæ tibi paret, multatum iri. Scis autem quam sim lentus ad condemnandum, & quanto lentior, postquam condemnavi, ad ignoscendum. Per mihi molestum est, ejus opera Deos omnes contemni. Equidem ex tuis factis nullum libentius videro, immo audiero, quam Athanasium illum sceleſtum ex omnibus Ægypti locis pulsum esse: qui ausus est in meo regno fœminas Græcorum (*hoc est, Gentilium*) illustres ad baptismum impellere.

B

C

Ἀρταβίῳ.

ζ.

Ἐγὼ νὴ τὰς θεὰς ἔτε κτείνεσθαι τὰς Γαλιλαίας, ἔτε τύπτεσθαι παρὰ τὸ δίκαιον, ἔτε ἄλλο τι πάσχειν κακὸν βούλομαι· προτιμᾶσθαι μέντοι τὰς θεοσεβεῖς, καὶ πάνυ φημὶ δεῖν. Διὰ γὰρ τὴν Γαλιλαίων μωρίαν, ὀλίγου δεῖν, ἅπαντα ἀνετράπη, διὰ δὲ τὴν τ θεῶν εὐμένειαν σωζόμεθα πάντες. ὅθεν χρὴ τιμᾶν τὰς θεὰς, καὶ τὰς θεοσεβεῖς ἄνδρας τε καὶ πόλεις.

ARTABIO.

VII.

EGo per Deos, neque interfici Galilæos, neque cædi præter jus & æquum, neque molestiæ quicquam perpeti volo: sed tamen iis pios & sanctos viros præferendos esse vel maxime censeo. Etenim Galilæorum amentia propemodum omnia afflixit ac perdidit, cum Deorum benevolentia omnes salvi simus. Quare tum Deos colere, tum pios & viros & populos honorare debemus.

D

Γεωργίῳ.

η.

Ἦλυθες Τηλέμαχε, φησὶ τὸ ἔπος· ἐγὼ δέ σε καὶ " εἶδον ἤδη

Voss. addit Καθολικῷ.

Voss. ἰδὼν

GEORGIO.

VIII.

IN versu illo scis esse, Venisti, mi Telemache. At ego te & vidi jam in litteris,

litteris, & tuæ divinæ mentis imaginem, quasi magni cujusdam signi effigiem, parvo sigillo expressi. Licet enim multa in re parva ostendere. Sapiens ille Phidias non ex ea solum, imagine, quæ in Olympiis est aut Athenis, notus erat, verum etiam quod in exigua sculptura magnæ artis opus incluserat. Talem ajunt ejus cicadam & apem fuisse, ac, si vis, muscam: quorum unumquodque licet natura æreum finxit, ars tamen vita atque anima ornavit. Verum in iis parvitas fortasse animantium artis industriæ speciem veritatis contulit. At tu, si placet, Alexandrum ex equo venantem intuere, cujus magnitudo digiti in manu unguem non superat, & tamen adeo mirabili est artificio expressus, ut Alexander quidem & beluam feriat, & spectatori terrorem vultu incutiat: equus vero in extrema pedum basi consistere recusans, dum motionis sensum tanquam surripit, arte tamen moveatur. Hoc ipsum tu, vir egregie, paullo ante apud nos fecisti. Nam ut in Mercurii facundi stadiis toties jam victor coronatus, mirabilem in paucis his scriptis virtutem tuam demonstras: vereque Homericum Ulyssem imitaris, qui *vel* tantum dicendo *quisnam esset*, Phæacas perterruit ac conturbavit. Quamobrem si nostra amicitia tibi usui esse possit, præsto ea tibi erit cum voles. Omnino amicitiam quoque infimorum utilem esse docet mus, qui leoni mercedis loco salutem attulit.

γράμμασι, καὶ τ῀ ἱερᾶς σ῀ ψυχῆς τὴν εἰκόνα, καθάπερ ὀλίγῃ σφραγῖδι μεγάλ῀ χαρακτῆρ@ τύπον ἀνεμαξάμην. Ἔστι γὰρ ἐν ὀλίγῳ πολλὰ δειχθῆναι. ἐπεὶ καὶ Φειδίας ὁ σοφὸς ἀπ ἐπ τ῀ Ὀλυμπιάσι μόνον ἢ Ἀθήνησιν εἰκόν@ ἐγνωρίζετ, ἀλλ' ἤδ῀ κ῀ μικρῷ γλύμματι μεγάλης τέχνης ἔργον ἐγκλεῖσαι· οἷον δή τ῀ τέττιγά φασιν αὐτὸν, καὶ τὴν μέλιτταν· εἰ δὲ βέλτ῀, καὶ τὴν μῦαν, εἶναι. ὧν ἕκασον εἰ κ῀ τῇ φύσ῀ σμικρὸν κεχάλκωται, " τῇ τέχνῃ ἐψύχωται. Ἀλλ' ἐν ἐκείνοις μὲν ἴσως αὐτῷ καὶ ἡ σμικρότης τ῀ ζώων, εἰς τὴν καλὰ λόγον τέχνην τὸ εἰκὸς ἐχαρίζετ. σὺ δ' ἄλλα τὸν ἐφ' ἵππ῀ θηρῶντα Ἀλέξανδρον, εἰ δοκεῖ, σκόπ῀, ἕ τὸ μέτρον ἐστὶ πᾶν, ὄνυχ@ δακτύλ῀ χειρὸς ἀ μεῖζον. ἕτω δὲ ἐφ' ἑκάστ῀ " τὸ θαῦμα τ῀ τέχνης " ἔχεται, ὥστε ὁ μὲν Ἀλέξανδρ@ ἤδη τὸ θηρίον βάλλ῀, καὶ τὸν θεατὴν φοβεῖ, δι' ὅλ῀ δυσωπῶν τ῀ σχήματ@, ὁ δὲ ἵππ@ ἐν ἄκρᾳ τῶν ποδῶν τῇ βάσ῀ τὴν στάσιν φέυγων, ἐν τῇ τ῀ ἐνεργείας κλοπῇ, τῇ τέχνῃ κινεῖται. Ὃ δὴ κ῀ αὐτὸς ἡμῖν, ὦ γενναῖε, ἐποίεις. ὥσπερ γὰρ ἐν Ἑρμ῀ λογίῳ σαφέσι διόλ῀ πολλάκις τ῀ δρόμ῀ στεφανωθεὶς ἤδη, δι' ὧν ἐν ὀλίγοις γράφεις, τ῀ ἀρετῆς τὸ ἄκρον ἐμφαίνεις· κ῀ πρ῀ ὄνλι τ῀ Ὀδυσσέα τ῀ Ὁμήρ῀ ζηλοῖς, ὃς κ῀ μόνον εἰπὼν ὅστις ἦν, ἥρπασε τὰς Φαίακας ἐκπλῆξαι. εἰ δή τι καὶ παρ' ἡμῶν τ῀ καλά σε φιλικ῀ καπν῀ δέξ῀, φθόν@ οὐδείς. πάντως πο κ῀ παρὰ τῶν ἡτιόνων εἶναί τι χρηστὸν, ὁ μῦς τὸν λέοντα πρ῀ μισθῷ σώσας, ἀρκέντως δείκνυσι.

ECDICIO
Præfecto Ægypti.

Ἐκδικίῳ ὑπάρχῳ Αἰγύπτ῀.

IX.

QUidam equis, alii avibus, nonnulli feris delectantur: ego vero inde

θ.

Ἄλλοι μὲν ἵππων, ἄλλοι δὲ ὀρνέων, ἄλλοι δὲ θηρίων ἐρῶσιν. ἐμοὶ δὲ βι-

δ' ὀρνέων ἄλλοι δ' ἄλλων. Cf. Horat. p. 53

 βλίων

Voss. ἀλλα τὴν τέχνην ἐμψύχωται.

Deest τὸ θαῦμα in vet. Cod. Voss. δέχεται,

ἑλίων κλήσεως ἐκ παιδαρίου δεινὸς ἐντέτηκε πόθος. Ἄτοπον οὖν, εἰ ταῦτα περιΐδοιμι σφαλερισαμένους ἀνθρώπους, οἷς οὐκ ἀρκεῖ τὸ χρυσίον μόνον ἀναπλῆσαι τὸν πολὺν ἔρωτα τοῦ πλούτου· πρὸς δὲ καὶ ταῦτα ὑφαιρεῖσθαι ῥᾳδίως ὑποδιανοουμένους. Ταύτην οὖν ἰδιωτικήν μοι δὸς τὴν χάριν, ὅπως ἂν εὑρεθείη πάντα τὰ Γεωργίου βιβλία. πολλὰ μὲν γὰρ ἦν Φιλόσοφα παρ' αὐτῷ, πολλὰ δὲ ῥητορικά, πολλὰ δὲ ἦν καὶ τῶν δυσεβῶν Γαλιλαίων διδασκαλίας· ἃ ἐκλοίμην μὲν ἠφανίσθαι πάντη. τῷ δὲ μὴ σὺν τούτοις ἀφαιρεθῆναι τὰ χρησιμώτερα, ζητείσθω κἀκεῖνα μετ' ἀκριβείας ἅπαντα. ἡγεμὼν δὲ τῆς ζητήσεως ἔσῳ σοι ταύτης ὁ Νοτάριος Γεωργίου. ὃς μετὰ πίστεως ἀνιχνεύσας αὐτά, γέρως ἴσῳ τευξόμενος ἐλευθερίας· εἰ δ' ἄλλως πως γένοιτο κακοῦργος περὶ τὸ πρᾶγμα, βασάνων εἰς πεῖραν ἥξων. ἐπίσταμαι ὃ ἐγὼ τὰ Γεωργίου βιβλία· καὶ εἰ μὴ πάντα, πολλὰ μέντοι μετέδωκέ μοι περὶ τὴν Καππαδοκίαν, ὄντι πρὸς μεταγραφήν τινα, καὶ ταῦτα ἔλαβε πάλιν.

Voss. ὑφαιρ. Voss. ζητείσθω. καὶ

A usque a pueritia librorum cupiditate arsi. Quare absurdum est, has opes iis relinquere, quorum avaritia nequit auro expleri, præsertim cum facile videar eas illis posse detrahere. Quocirca hoc mihi privatim beneficium dabis, ut Georgii scripta omnia reperienda cures. Multa erant apud illum Philosophica, Rhetorica, multa de impiorum Galilæo- B rum doctrina: quæ velim penitus extincta esse; sed, ne cum his illa quoque pereant, omnia diligenter exquiri volo. Dux autem tibi esto ad inquirendum librarius ipsius Georgii: qui si fideliter in eam curam incubuerit, præmium sibi libertatem esse sciat; sin autem malitiose & astute rem gesserit, quæstionem de se habitum iri. Georgii porro libros ego novi: mihi enim, cum in Cappadocia C essem, etsi non omnes, at quosdam describendos dedit, quos ad eum postea remisi.

Αὐτοκράτωρ Καῖσαρ Ἰουλιανὸς, μέγιστος, σέβαστος, Ἀλεξανδρέων τῷ δήμῳ.

IMPERATOR CÆSAR JULIANUS, MAXIMUS, AUGUSTUS, POPULO ALEXANDRINO.

ι.

Εἰ μὴ τὸν Ἀλέξανδρον τὸν οἰκιστὴν ὑμῶν, καὶ πρό γε τούτου τὸν θεὸν μέγαν τὸν ἁγιώτατον Σάραπιν αἰδεῖσθε, τὸ κοινὸν γένος ὑμᾶς καὶ ἀνθρωπίνου, καὶ πρέποντος πῶς οὐκ εἰσῆλθε λόγος οὐδείς; προσθήσω δ' ὅτι καὶ ἡμῶν, οὓς οἱ θεοὶ πάντες, ἐν πρώτοις δὲ ὁ μέγας Σάραπις, ἄρχειν ἐδικαίωσαν τῆς οἰκουμένης, οἷς πρέπον ἦν τὴν ὑπὲρ τῶν ἠδικηκότων ὑμᾶς φυλάξαι διάγνωσιν. Ἀλλ' ὀργὴ τυχὸν ἴσως ὑμᾶς ἐξηπάτησε καὶ θυμὸς, ὅσπερ ἔνι εἴωθε τὰ δεινὰ πράττειν, τὰς φρένας μετοικίσας· εἶτα τῆς ὁρμῆς ἀνασείλαντες τοῖς παραχρῆμα βεβουλευμένοις

X.

SI nihil vos Alexander conditor, ac potius Deus ille magnus sanctissimus Sarapis, commovet; attamen patriæ, humanitatis, officii ratio nonne debuit ac potuit commovere? addo etiam D nostri: quos cum Dii omnes, tum vero in primis magnus Sarapis, totius orbis imperio præfecerunt: quorum intererat de injuria vobis facta cognoscere. Verum iracundia vos fortasse decepit & furor, qui atrocissima quæque solet committere, ubi mentem domicilio suo exturbavit: deinde *represso impetu*,

petu, iis quæ ſubito a vobis recte conſulta erant, iniquum poſtea facinus ſubjeciſtis. Neque veriti eſtis, cum plebs eſſetis, eadem committere, quæ in illis merito reprehendebatis. Etenim, per Sarapin, dicite mihi, quæ tandem Georgii crimina vos in illum incitarunt? Reſpondebitis, arbitror, quoniam in vos Conſtantium accenderit: deinde exercitum in ſacram urbem adduxerit: tum *præfectus Ægypti* ſanctiſſimum Dei templum ceperit, ſtatuas, & donaria, & ornatum omnem diripuerit: cumque vos merito iraſceremini, & Deo, vel Dei potius opibus ſuccurreretis, ille ſumma iniquitate, ſcelere, impietateque uſus, armatos immiſerit, magis fortaſſe Georgium quam Conſtantium veritus, ſi ſeipſum erga vos modeſte ac civiliter gereret, neque tyrannidem *ab initio* exerceret. His itaque cauſſis irati, Deorum inimico Georgio iterum ſacram urbem ſcelere polluiſtis, cum liceret eum ſententiis judicum permittere. Sic enim non cædes, non ſcelus ullum fuiſſet, jus & æquitas adhibita eſſet, quæ & vos penitus conſervaret, & impietatis auctorem puniret, & cæteros comprimeret, qui Deos contemnunt, qui urbes, iſtas & florentes populos pro nihilo ducunt, qui crudelitatem erga illos exiſtimant potentiæ ſuæ additamentum. Conferte itaque meam illam epiſtolam, quam ad vos paulo ante miſi, cum hac ipſa, & quantum interſit, conſiderate, quantisque laudibus vos illic affecerim: quas cum hoc tempore vobis tribuere deberem, propter ſcelus veſtrum medius fidius non poſſum. Auſus eſt po-

καλῶς, ὕστερον ἐπήγαγε τε τὴν παρανομίαν. ὐδὲ ἠσχύνθητε δῆμος ὄντες τολμῆσαι ταῦτα, ἐφ' οἷς ἐκείνους ἐμισήσατε δικαίως. Εἰπατε γάρ μοι πρὸς τοῦ Σαράπιδος, ὑπὲρ ποίων ἀδικημάτων ἐχαλεπήνατε Γεωργίῳ; τὸν μαναριώταλον Κωνσάντιον ἐρεῖτε δήπουθεν, ὅτι καθ' ὑμῶν παρώξυνεν, εἶτα εἰσήγαγεν εἰς τὴν ἱερὰν πόλιν στρατόπεδον, καὶ κατέλαβεν ὁ στρατηγὸς τῆς Αἰγύπτου τὸ ἁγιώτατον τοῦ Θεοῦ τέμενος, ἀποσυλήσας ἐκεῖθεν εἰκόνας, καὶ ἀναθήματα, καὶ τὸν ἐν τοῖς ἱεροῖς κόσμον. Ὑμῶν δὲ ἀγανακτούντων εἰκότως, καὶ πειρωμένων ἀμύνειν τῷ Θεῷ, μᾶλλον, δὲ τοῖς τοῦ Θεοῦ κτήμασιν· ὁ δ' ἐτόλμησεν ὑμῖν ἐπιπέμψαι τοὺς ὁπλίτας, ἀδίκως, καὶ παρανόμως, καὶ ἀσεβῶς· ἴσως Γεώργιον μᾶλλον, ἢ τὸν Κωνσάντιον δεδοικὼς, ἑαυτὸν παρεφύλαττεν, εἰ μετριώτερον ὑμῖν καὶ πολιτικώτερον, ἀλλὰ μὴ τυραννικώτερον πόρρωθεν προσεφέρετο. Τούτων οὖν ἕνεκεν ὀργιζόμενοι τῷ θεοῖς ἐχθρῷ Γεωργίῳ, τὴν ἱερὰν αὖθις ἐμιάνατε πόλιν, ἐξὸν ὑποβάλλειν αὐτὸν ταῖς τῶν δικαστῶν ψήφοις· ἔτω γὰρ ἐγίνετο ἂν ὁ φόνος, ὐδὲ παρανομία τὸ πρᾶγμα. δίκη δὲ ἐμμελὴς, ὑμᾶς μὲν ἀθῴους πάντη φυλάττουσα, τιμωρεμένη μὲν τὸν ἀνίατα δυσεβήσαντα. καὶ σωφρονίζουσα δὲ τοὺς ἄλλους πάντας, ὅσοι τῶν θεῶν ὀλιγωροῦσι, καὶ προστέτι τὰς τοιαύτας πόλεις, καὶ τοὺς ἀνθοῦντας δήμους ἐν ὐδενὶ τίθενται, τοῦ ἑαυτῶν δὲ ποιοῦντας πάρεργον δυνασείας τὴν καθ' ἑκείνων ὠμότητα. Παραβάλλετε τοίνυν ταύτην μου τὴν ἐπιστολὴν, ἣν μικρῷ πρώην ἐπέστειλα, καὶ τὸ διάφορον καταυόησατε, πόσους μὲν ὑμῶν ἐπαίνους ἔγραφον τότε. νυνὶ δὲ μοι τοὺς θεοὺς ὀφείλων ὑμᾶς ἐπαινεῖν, ὐ δύναμαι διὰ τὴν παρανομίαν. Τολμᾷ δῆμος, ὥσπερ οἱ κύ-

Addubitavit Voss. Horkel p. 45 Φυλάττειν αἵματι καταρρεούσας Horkel p. 44

νες, ἄνθρωπον σπαράττειν· εἶτα οὐκ αἰσχύνεται [καὶ Φυλάττει] καθαρὰς τὰς χεῖρας ὡς προσάγειν πρὸς τοὺς θεοὺς, αἵματος καθαρευούσας. Ἀλλὰ Γεώργιος ἄξιος ἦν τοῦ τοιαῦτα παθεῖν. καὶ τούτων ἴσως ἐγὼ φαίην ἂν χείρονα καὶ πικρότερα. κἂν δι' ὑμᾶς ἐρεῖτε. σύμφημι καὶ αὐτός. παρ' ὑμῶν δὲ εἰ λέγοιτο, τοῦτο οὐκ ἔτι συγχωρῶ. Νόμοι γὰρ ὑμῖν εἰσιν, οὓς χρὴ τιμᾶσθαι μάλιστα μὲν ὑπὸ πάντων ἰδίᾳ καὶ στέργεσθαι. πλὴν ἐπειδὴ συμβαίνει τῶν καθ' ἕκαστόν τινας παρανομεῖν, ἀλλὰ τὰ κοινὰ γοῦν εὐνομεῖσθαι χρὴ, καὶ πειθαρχεῖν τοῖς νόμοις ὑμᾶς, καὶ μὴ παραβαίνειν, ὅσαπερ ἐξ ἀρχῆς ἐνομίσθη καλῶς. Εὐτύχημα γέγονεν ὑμῖν, ἄνδρες Ἀλεξανδρεῖς, ἐπ' ἐμοῦ πλημμελῆσαι τοιοῦτό τι ὑμᾶς, ὃς αἰδοῖ τῇ πρὸς τὸν θεὸν, καὶ διὰ τὸν θεῖον τὸν ἐμὸν καὶ ὁμώνυμον, ὃς ἦρξεν αὐτῆς τε Αἰγύπτου, καὶ τῆς ὑμετέρας πόλεως, ἀδελφικὴν εὔνοιαν ὑμῖν ἀποσώζω. Τὸ γὰρ τῆς ἐξουσίας ἀκαταφρόνητον, καὶ τὸ ἀπηνέστερον καὶ καθαρὸν τῆς ἀρχῆς. οὔποτε ἂν δήμου περίδοιεν τόλμημα, μὴ οὐ καθάπερ νόσημα χαλεπὸν πικροτέρῳ διακαθᾶραι φαρμάκῳ. Προσφέρω δ' ἐγὼ ὑμῖν, δι' ἅσπερ ἔναγχος ἔφην αἰτίας, τὸ προσηνέστατον παραίνεσιν καὶ λόγους· ὑφ' ὧν εὖ οἶδα ὅτι πείσεσθε μᾶλλον, εἴπερ ἐστὲ, καθάπερ ἀκούω, τό, τε ἀρχαῖον Ἕλληνες, καὶ τανῦν ἔτι, τῆς εὐγενείας ἐκείνης ὕπεστιν ὑμῖν ἀξιόλογος καὶ γενναῖος ἐν τῇ διανοίᾳ καὶ τοῖς ἐπιτηδεύμασιν ὁ χαρακτήρ. Προτεθήτω δὲ τοῖς ἐμοῖς πολίταις Ἀλεξανδρεῦσιν.

Ἰουλιανὸς Βυζαντίοις.

ια.

Τοὺς βουλευτὰς πάντας ὑμῖν ἀποδεδώκαμεν, καὶ τοὺς πατροβούλους, εἴ τε τῇ Γαλιλαίων ἑαυτοὺς ἔδοσαν θρησκείᾳ, εἴ τε ὅπως ἄλλως

A pulus, ut canes, hominem discerpere: neque pudore afficitur: neque manus puras ac sanguine vacuas servat, ad Deo offerendum. At enim dignus erat Georgius, qui talia pateretur. Immo longe fortasse graviora, inquam, & acerbiora. At vestro nomine. Fateor, sed a vobis, non concedo. Sunt enim leges, quas observare omnes & colere debebatis: ac si B privatim a nonnullis violarentur, publice quidem certe rem bene administrari, legibus obtemperari, instituta majorum sancta & sacra haberi, conveniebat. Præclare est vobiscum actum, viri Alexandrini, quod me regnante talia commisistis, qui partim verecundia in Deum, partim avunculi mihi cognominis, qui tum ipsi Ægypto, tum vestræ civitati præfuit, recordatione, fraternam erga vos caritatem conservo. Certe in bono C & severo imperio, cujus auctoritas non contemnatur, facinus insolens populi ferri non solet, sed tanquam gravis morbus asperiore medicina sanatur. At ego propter eas caussas, quas modo commemoravi, remedium lenius adhibeo, orationem nimirum atque admonitionem: quibus (ut spero) eo libentius parebitis, quod & antiqua origine Græci estis, & nunc illustres ac D præclaras nobilitatis illius notas animo vitaque retinetis. *Proponatur autem*, quia mei Alexandrini cives estis.

JULIANUS BYZANTIIS.

XI.

SEnatores omnes vobis reddidimus, & Decuriones *patricios*, sive in Galilæorum religionem se dederint, sive aliud quidvis

quidvis gesserint, ut Curiam effugiant, extra eos qui in urbe primaria publico muneri præfuerunt.

A

πραγματεύσαντο, διαδράναι τὸ βυλευτήριον, ἔξω τῶν ἐν τῇ μητροπόλῃ λελειτουργηκότων.

BASILIO.

XII.

NOn bellum denuncias, ait vetus verbum. At ego addam etiam illud Comœdiæ veteris: O nuncium aureorum verborum! Age igitur, istud reipsa ostende, & ad nos quamprimum advola: certe amicus ad amicum venies. *Publica* & assidua cura Reipublicæ molesta est iis, qui negligentius in ea versantur. At qui diligentia & industria utuntur, æqui sunt, mea quidem sententia, & prudentes, omninoque ad omnia idonei. Quare ipse mihi opportunitatem hanc comparavi, ut sine ulla Reipublicæ negligentia, nonnihil quoque spatii ad relaxationem animi sumam. Etenim adhuc ita vivimus, ut aulicæ simulationis nihil fere retineamus; (quam quidem tu fortasse adhuc expertus fuisti qua qui laudant, majore odio; prosequuntur, quam inimicissimos) sed honesta moderataque libertate, cum opus est, nos mutuo accusamus & reprehendimus, neque tamen propterea minus inter nos amamus, quam qui maxime amici sunt. Ex eo accidit (quod sine invidia dicere liceat) ut dum relaxamur, seria agamus, & dum hæc agimus, minime cruciemur, & secure dormiamus: quoniam cum vigilarem, non tam pro meipso, quam pro cæteris omnibus, ut par erat, vigilavi. Hæc forsitan apud te nugatus sum, levitate quadam animi & insolentia: meipsum namque, sicut Astydamas, collaudavi. Veruntamen, ut intelligeres multo magis tuum conspectum, sapientis videlicet hominis, nobis profuturum, quam impedimenti allaturum, hæc scripsi. Propera igitur, ut dixi, & pu-

B

C

D

Βασιλείῳ.

ιϛ.

Ἡ μὲν παροιμία φησὶν, Οὐ πόλεμον ἀγγέλλεις. ἐγὼ δε προσθείην ἐκ τῆς κωμῳδίας, ὦ χρυσὸν ἀγγέλας ἐπῶν. ἴθι ὦν, ἔργοις αὐτὸ δεῖξον, καὶ σπεῦδε παρ' ἡμᾶς· ἀφίξῃ γὰρ φίλος παρὰ φίλον. ἡ δὲ περὶ τὰ πράγματα κοινὴ καὶ συνεχὴς ἀσχολία δοκεῖ μὲν εἶναί πως τοῖς "πάρεργον αὐλὸ ποιοῦσιν ἐπαχθής· γε. μὴ παρέγως οἱ δὲ τῆς ἐπιμελείας κοινωνοῦντες, εἰσὶν ἐπιεικεῖς· ὡς ἐμαυτὸν πείθω· καὶ συνετοὶ, καὶ πάντως ἱκανοὶ πρὸς πάντα. Δίδωμι ὦν μοι ῥαῳθύμην, ὥστε ἐξεῖναι μηδὲν ὀλιγωροῦντι καὶ ἀναπαύεσθαι. Σύνεσμεν γὰρ ἀλλήλοις ὰ μετὰ τ' αὐλικῆς ὑποκρίσεως μόνης· ἧς, οἶμαι, σε μέχρι τοῦ δεῦρο πεπειρᾶσθαι· καθ' ἣν ἐπαινοῦντες, μισοῦσι τηλικοῦτον μῖσος, ἡλίκον ὰδὲ τοὺς πολεμιωτάτους· ἀλλὰ μετὰ τῆς προσηκούσης ἀλλήλοις ἐλευθερίας, ἐξελέγχοντές τε ὅταν δέῃ καὶ ἐπιτιμῶντες, οὐκ ἔλαττον φιλοῦμεν ἀλλήλους τῶν σφόδρα ἑταίρων. Ἔνθεν ἔξεσιν ἡμῖν· ἀπεὶη δὲ φθόνος· ἀνειμένοις τε σπουδάζειν, καὶ σπουδάζουσι μὴ ταλαιπωρεῖσθαι, παθεύδειν δὲ ἀδεῶς. ἐπεὶ καὶ ἐγρηγορως, οὐχ ὑπὲρ ἑαυτοῦ μᾶλλον, ἢ καὶ ὑπὲρ τῶν ἄλλων ἁπάντων, ὡς εἰκὸς, ἐγρήγορα. Ταῦτα ἴσως κατηδολέσχησά σου καὶ καταλήρησα; παθών τι βλακῶδες. ἐπήνεσα γὰρ ἐμαυτὸν ὥσπερ Ἀσυδάμας. ἀλλ' ἵνα σε πείσω προέργου τι μᾶλλον ἡμῖν τὴν σὴν παρουσίαν, ἅτε ἀνδρὸς ἔμφρονος, ποιήσειν, ἢ παραιρήσεσθαί τι τοῦ καιροῦ, ταῦτα ἐπέστειλα. Σπεῦδε ὦν, ὅπερ

ἔν, ὅπερ ἔφην, δημοσίῳ χρησόμενος δρόμῳ· συνδιατρίψας δὲ ἡμῖν ἐφ' ὅσον σοι φίλον, οἷπερ ἂν θέλῃς ὑφ' ὑμῶν πεμπόμενος, ὡς προσῆκόν ἐστι, βαδιῇ.

A blicis equis utere: cumque apud nos, quantum tibi videbitur, fueris, tum a nobis honeste & ut decet dimissus, quo voles, proficiscaris.

Ἰουλιανὸς Ἰουλιανῷ θείῳ.

ιγ.

Τρίτης ὥρας νυκτὸς ἀρχομένης, οὐκ ἔχων ὅδε τὸν ὑπογράφοντα, διὰ τὸ πάντας ἀσχόλους εἶναι, μόλις ἴσχυσα πρός σε ταῦτα γράψαι. Ζῶμεν διὰ τοὺς θεούς, ἐλευθερωθέντες τοῦ παθεῖν ἢ δράσαι τὰ ἀνήκεστα. Μάρτυς δὲ ὁ Ἥλιος, οὗ μάλιστα πάντων ἱκέτευσα συναράσθαί μοι, καὶ ὁ βασιλεὺς Ζεύς, ὡς ὅ πώποτε ἠυξάμην ἀποκτεῖναι Κωνστάντιον, μᾶλλον δὲ ἀπηυξάμην. Τί οὖν ἦλθον; ἐπειδάν μοι οἱ θεοὶ διαῤῥήδην ἐκέλευσαν, σωτηρίαν μὲν ἐπαγγελλόμενοι πειθομένῳ· μένοντι δὲ, ὃ μηδεὶς θεῶν ποιήσειεν. ἄλλως τε ὅτι καὶ πολέμιος ἀποδειχθείς, ὤμην φοβῆσαι μόνον, καὶ εἰς ὁμιλίας ἥξειν ἐπιεικεστέρας τὰ πράγματα· εἰ δὲ μάχῃ κριθείη, τῇ τύχῃ τὰ πάντα καὶ τοῖς θεοῖς ἐπιτρέψας, περιμένειν ὅπερ ἂν αὐτῶν τῇ φιλανθρωπίᾳ δόξῃ.

XIII.

AD tertiam horam noctis ineuntis, cum neminem, qui scriberet, haberem, quod omnes occupati essent, vix potui hæc ad te scribere. Vivimus Deorum beneficio, liberati ab extremis malis patiendis, vel faciendis. Testis vero mihi est Sol, cujus auxilium opemque inprimis popposci: testis Jupiter Rex, quod Constantium occidere nunquam optaverim, immo magis, in id accideret, exoptaverim. Cur igitur veni? quia videlicet Dii aperte hortabantur, salutem polliciti si parerem; sin vero remanerem, id quod Dii prohibeant. Accedit, quod cum hostis jam appellatus essem, terrere eum duntaxat cogitabam, eoque pacto res ad colloquium aliquod lenius & mitius deventuras esse: aut si etiam bello decernendum foret, Fortunæ Diisque omnia permitterem, atque exitum, qualem ipsorum clementia afferret, expectarem.

Ἰουλιανὸς Λιβανίῳ.

ιδ.

ΑΝέγνων χθὲς τὸν λόγον πρὸ ἀρίστου σχεδόν· ἀρισήσας δὲ, πρὶν ἀναπαύσασθαι, τὸ λοιπὸν προσαπέδωκα τῆς ἀναγνώσεως. μακάριος εἰ λέγειν ὕτω, μᾶλλον δὲ φρονεῖν ὕτω δυνάμενος. ὦ λόγος, ὦ φρένες, ὦ σύνεσις, ὦ διαίρεσις, ὦ ἐπιχειρήματα, ὦ τάξις, ὦ ἁφορμαί, ὦ λέξις, ὦ ἁρμονία, ὦ συνθήκη.

Voss. addit σοφιστῇ καὶ Κοναίσωι.

Voss. τῇ ἀναγνώσει

JULIANUS LIBANIO.

XIV.

LEgi hesterno die orationem tuam magna ex parte ante prandium: pransus vero, sine ulla intermissione, reliquum absolvi. O te felicem, qui ita possis dicere, aut sentire potius! o orationem! o mentem! o prudentiam! o partitionem! o argumenta! o dispositionem! o aditus! o verba! o numerum! o compositionem.

Ἰουλιανὸς

JULIANUS MAXIMO Philopho.

XV.

ALexandrum Macedonem ajunt Homeri carminibus indormire ſolitum, ut noctes diesque in bellicis ejus præceptis verſaretur. At nos cum tuis epiſtolis, tanquam Pæoniis medicamentis dormimus, easque aſſidue tanquam recentes ac novas iteramus. Quare ſi tuarum litterarum colloquium, id eſt, tuam imaginem nobis repræſentare vis, ſcribe, & aſſidue ſcribe; vel potius Diis juvantibus veni, tibique perſuade, quamdiu abfueris, nos vita frui non poſſe dicere, niſi eatenus, quoad litteras tuas legimus.

JULIANUS EIDEM.

XVI.

AQuilam fingunt fabulæ, cum veros fœtus explorare vult, implumes eos adhuc & teneros in cælum ferre, Solisque radiis objicere, tanquam Deo teſte, verum patrem a falſo atque adultero ſejungat. At tibi nos tanquam Mercurio, eloquentiæ Deo, ſcripta noſtra offerimus, ut ſi aures tuas ſuſtinere poſſint, tu pro arbitrio tuo ſtatuas, an in vulgus evolare debeant; ſin minus, ea continuo projicias tanquam a Muſis aliena, aut flumine obruas ut adulterina. Sic certe Gallis injuriam nullam facit Rhenus, qui ſpurios infantes undis abripit, tanquam impuri lecti vindex: quos autem ex puro ſemine ortos agnovit, in ſumma aqua ſuſpendit, matriſque trementis manibus reddit, & quaſi verum incorruptumque

A

Ἰουλιανὸς Μαξίμῳ Φιλοσόφῳ.

ιε.

Ἀλέξανδρον μὲν τὸν Μακεδόνα τοῖς Ὁμήρου ποιήμασιν ἐφυπνώττειν λόγος, ἵνα δὴ καὶ νύκτα καὶ μεθ' ἡμέραν αὐτῷ τοῖς πολεμικοῖς ὁμιλῇ συνθήμασιν· ἡμεῖς δέ σου τὰς ἐπιστολάς, ὥσπερ Παιωνείοις τισὶ φαρμάκοις συγκαθεύδομεν. καὶ ἀεὶ διαλείπομεν ἐντυγχάνοντες ἀεὶ, καθάπερ νεαρὰς ἔτι καὶ πρῶτον εἰς χεῖρας ἡκούσας. Εἴπερ οὖν ἐθέλεις ἡμῖν εἰκόνα σῆς παρουσίας τὴν ἐν τοῖς γράμμασιν ὁμιλίαν προξενεῖν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. Μᾶλλον δὲ ἧκε σὺν θεοῖς, ἐνθυμούμενος ὡς ἡμῶν γ' ἕως ἂν ἀπῇς, οὐδ' ὅτι ζῶμεν εἰπεῖν ἐσὶν, ἢ ὅτε μόνον τοῖς παρούσου γραφομένοις ἐντυχεῖν ἔξεσιν.

B

C

Ἰουλιανὸς τῷ αὐλῷ.

ις.

Ὁ μὲν μῦθος ποιεῖ τὸν ἀετὸν, ἐπειδὰν τὰ γνήσια τῶν νημάτων βασανίζῃ, φέρειν ἄπιλα πρὸς τὸν αἰθέρα, καὶ ταῖς ἠλίου προσάγειν ἀκτῖσιν, ὥσπερ ὑπὸ μάρτυρι τῷ Θεῷ, τὸν γνήσιον τε ἀληθῶς νεοττὸν γινόμενον, καὶ νόθου γονῆς ἀλλοτριούμενον· Ἡμεῖς δέσοι, καθάπερ Ἑρμῇ λογίῳ, τοὺς ἡμετέρους λόγους ἐγχειρίζομεν. κἂν μὲν ὑπομείνωσι" τὴν ἀκοὴν τὴν σὴν, ἐπί σοι τὸ κρῖναι περὶ αὐτῶν, εἰ καὶ πρὸς τοὺς ἄλλους εἰσὶ πλήσιμοι· εἰ δὲ μὴ, ῥῖψον ἐκεῖ καθάπερ Μουσῶν ἀλλοτρίους, ἢ ποταμῷ κλύσον ὡς νόθους. Πάντως δὲ ὁ Ῥῆνος ἀδικεῖ τοὺς Κελτούς, ὃς τὰ μὲν νόθα τῶν βρεφῶν ὑποβρύχια ταῖς δίναις πέμπει, καθάπερ ἀπολάσαι λέχους τιμωροὺς πρέπων· ὅσα δ' ἂν ἐπιγνῷ καθαροῦ σπέρματος, ὑπεράνω τοῦ ὕδατος αἰωρεῖ, καὶ τῇ μητρὶ τρεμούσῃ πάλιν εἰς χεῖρας δίδωσιν, ὥσπερ ἀδέκαστόν τινα

D

νοσ. τὴν σὴν ἀκτῖνα

τινα

τινα μαρτυρίαν αὐτῇ καθαρῶν καὶ ἀμέμπτων γάμων τὴν τῦ παιδὸς σωτηρίαν ἀντιδωρέμενος.

A casti & laudabilis conjugii testimonium servato infante persolvit.

Ἰουλιανὸς Ὀρειβασίῳ.

ιζ.

Τῶν ὀνειράτων δύω πύλας εἶναι φησὶν ὁ θεῖος Ὅμηρος, καὶ διάφορον εἶναι αὐτοῖς καὶ τὴν ὑπὲρ τῶν ἀποβησομένων πίστιν. ἐγὼ δὲ νομίζω σε νῦν, εἴπερ ποτε καὶ ἄλλοτε, σαφῶς ἑωρακέναι περὶ τῶν μελλόντων. ἔθεασάμην γὰρ κἀγὼ αὐτὸς τοιῦτον σήμερον. Δένδρον γὰρ ᾠόμην ὑψηλὸν ἔν τινι τρικλίνῳ σφόδρα μεγάλῳ πεφυτευμένον, εἰς ἔδαφος ῥέπον, ἐν τῇ ῥίζῃ παραπεφυκότος ἑτέρου μικροῦ καὶ νεογενοῦς, ἀνθηροῦ λίαν. ἐγὼ δὲ περὶ τὸ μικρὸν σφόδρα ἠγωνίων, μή τις αὐτὸ μετὰ τοῦ μεγάλου συναποσπάσῃ. καὶ τοίνυν ἐπειδὰν πλησίον ἐγενόμην, ὁρῶ τὸ μέγα μὲν, ἐπὶ τῆς γῆς ἐκτεταμένον· τὸ μικρὸν δ', ὀρθὸν μέν, μετέωρον δὲ ἀπὸ γῆς. Ὡς δ' εἶδον, ἀγωνιάσας ἔφην, Οἷον δένδρον! κίνδυνός ἐστι μηδὲ τὴν παραφυάδα σωθῆναι. καί τις ἀγνὼς ἐμοὶ παντελῶς, ὅρα, ἔφησεν, ἀκριβῶς, καὶ θάρρει· τὸ ῥίζης γὰρ ἐν τῇ γῇ μενούσης, τὸ μικρότερον ἀβλαβὲς διαμενεῖ καὶ βεβαιότερον ἱδρυνθήσεται. τὰ μὲν δὴ τῶν ὀνειράτων τοιαῦτα· Θεὸς δὲ οἶδεν εἰς ὅ, τι φέρει. Περὶ δὲ τοῦ μιαροῦ ἀνδρογύνου μάθοιμ' ἂν ἡδέως ἐκεῖνο, πότε διελέχθη περὶ ἐμοῦ ταῦτα, πότερον πρὶν ἢ τοῦ συντυχεῖν ἐμοὶ, ἢ μετὰ τοῦτο. δήλωσον ἡμῖν ὅ, τι ἂν οἷός τε ἦς. ὑπὲρ ὧν τε πρὸς αὐτὸν, ἴσασιν ὅτι πολλάκις, αὐτοῦ τοὺς ἐπαρχιώτας ἀδικήσαντος, ἐσιώπησα, παρὰ τὸ πρέπον ἐμαυτῷ· τὰ μὲν οὐκ ἀκούων, τὰ δ' οὐ προσιέμενος, ἄλλοις δὲ ἀπιστῶν, ἔνια δὲ εἰς τοὺς συνόντας αὐτῷ τρέ-

Voss. ἐν αὐτῷ

JULIANUS ORIBASIO.

XVII.

OMniorum portas duas esse ait divinus Homerus, & variam iis esse fidem rerum futurarum. At ego te nunc, si unquam alias, certo futura vidisse arbitror. Nam & ego hodie tale quiddam vidi. Arborem proceram in quodam triclinio peramplo & spatioso insitam putabam, quæ in terram se inflecteret, atque arbusculam parvam & teneram, valdeque florentem ad radices agnatam haberet. Angebat me autem vehementer metus de exigua illa arbore, ne a quopiam una cum magna avelleretur. Et cum propius accessissem, cerno magnam arborem humi postratam, parvam autem erectam quidem, sed a terra suspensam. Quod cum vidissem, æstuans ac laborans: Heu, inquam, quanta arbor, & tamen est periculum ne surculus etiam ei agnatus intereat! Hic quidam mihi ignotus omnino: Contemplare, ait, diligenter, & bono sis animo; radice enim humi manente, parvula illa arbor permanebit, firmiorque hærebit. Ac somnium quidem tale est: quo autem pertineat, Deus scit. Verum de sceleratο illo eunucho valde cupio scire, quando ista de me narraverit, utrum antequam mihi occurrit, an postea: tu, quod poteris, nobis indicabis. Quod vero ad ipsum attinet, scit me persæpe, se provinciales vexante, tacuisse, contra quam dignitas mea postularet: cum quædam non audirem, alia non admitterem, nonnulla non crederem,

crederem, multa in ejus familiares & A domeſticos converterem. Quod autem mihi talem maculam inurere voluit, miſſis libellis omni ſcelere & contumelia refertis, quid me facere oportuit? num tacere? an pugnare? illud ſtultum ac ſervile erat, Deoque ingratum: hoc juſtum quidem, & forte, & libero dignum; attamen per negotia, quibus tum implicati eramus, minime licitum. Quid igitur feci? multis præſentibus, quos ei relaturos intelligebam: Omni- B no certe, inquam, iſte ſcripta ſua emendabit: nam adhuc quidem valde eſt intemperans. Hoc ille audito, tantum abfuit ut ad ſanitatem & modeſtiam rediret, ut ea fecerit, quæ nullus modeſtus tyrannus feciſſet, præſertim cum tam prope ab eo abeſſem. Quid hic faciendum erat homini Platonis & Ariſtotelis ſtudioſo? utrum miſeros homines in latronum poteſtatem dedere? an eos potius pro mea parte defendere, qui jam (ut arbitror) propter ne- C fariam iſtorum officinam cycneum carmen canunt? Mihi certe turpe videtur tribunos militares, *ubi ordinem deſeruerint, condemnare*; quanquam mors eis ante oculos oppetenda eſſet, ac ne ſepultura quidem dignos judicare: in miſeris autem hominibus ab injuria vindicandis ordinem deſerere, cum præſertim adverſus tales latrones dimicandum ſit, & quidem Deo nobis auxilium ferente, ſicuti nos ad prælium inſtruxit. Quod ſi etiam perpetiendum ſit D aliquid, non parva conſolatio eſt, cum recta & integra mentis conſcientia proficiſci. Utinam Dii Saluſtium virum probum nobis concedant. Ac ſi propterea ſucceſſor forte nobis dabitur, nihil erit, ut ſpero, moleſtum. Etenim breve tempus, bene & innocenter actum, peccanti immortalitati anteponendum eſt. Peripa-

πων. Ὅτι δέ μοι μεταδῦναι τῆς τοιαύτης ἠξίωσεν αἰσχύνης, ἀποσείλας τὰ μιαρὰ καὶ πάσης αἰσχύνης ἄξια ὑπομνήματα, τί με πρᾶξαι ἐχρῆν; ἆρα σιωπᾶν; ἢ μάχεσθαι; τὸ μὲν οἶμαι Horkel p. 34. πρῶτον εἶναι ἠλίθιον, καὶ δουλοπρεπὲς, καὶ θεομίσητον· τὸ δεύτερον δὲ, δίκαιον μὲν, καὶ ἀνδρεῖον, καὶ ἐλευθέριον, ὑπὸ δὲ τῶν ἐχόντων ἡμᾶς πραγμάτων ἀ συγχωρούμενον. Τί τοίνυν ἐποίησα; πολλῶν παρόντων, οὓς ἤδειν ἀναγγελοῦντας αὐτῷ, πάντη καὶ πάντως, εἶπον, διορθώσῃ τὰ ὑπομνήματα ὅτῳ ὁ δεῖνα· ἐπεὶ δεινῶς ἀσχημονεῖ. Τοῦτ' ἐκεῖνῳ ἀκούσας, τοσοῦτον ἐδέησε τοῦ σωφρόνως τί πρᾶξαι, ὥστε πεποιηκέναι ὅσα νὴ τὸν θεὸν ἀδὲ εἰς μέτριῳ τύραννῳ, ὅτῳ μὴ πλησίον ὄντῳ. Ἐνταῦθα τί πρᾶξαι ἐχρῆν ἄνδρα τῶν Πλάτωνος καὶ Ἀριστοτέλους ζηλωτὴν δογμάτων; ἆρα περιορᾶν ἀνθρώπους ἀθλίους τοῖς κλέπταις ἐνδιδομένους, ἢ καλὰ δύναμιν ἀυλοῖς ἀμύνειν, οἶμαι, ὡς ἤδη τὸ κύκνειον ἐξᾴδοντι διὰ τὸ θεομισὲς ἐργαστήριον τῶν τοιούτων; Ἐμοὶ μὲν οὖν αἰσχρὸν εἶναι δοκεῖ τοὺς μὲν χιλιάρχους, ὅταν λείπωσι τὴν τάξιν, καταδικάζειν, καίτοι χρὴ ἰσανὰ τεθνάναι παραχρῆμα, καὶ μηδὲ ταφῆς ἀξιοῦσθαι· τὴν δὲ ὑπὲρ ἀθλίων ἀνθρώπων ὑπολείπειν τάξιν, ὅταν δέῃ πρὸς κλέπτας ἀγωνίζεσθαι τοιούτους. καὶ ταῦτα τοῦ θεοῦ συμμαχοῦντῳ ἡμῖν, ὥσπερ οὖν ἔταξεν. Εἰ δὲ καὶ παθεῖν τι συμβαίη, μετὰ καλοῦ τοῦ συνειδότος, ἀ μικρὰ παραμυθία πορευθῆναι. Τὸν δὲ χρηστὸν Σαλούστιον θεοί μέν μοι χαρίσαιντο. κἂν συμβαίη δέ τι διὰ τοῦτο τυγχάνειν διαδόχου, λυπήσει τυχὸν οὐδέν. ἄμεινον γὰρ ὀλίγον ὀρθῶς, ἢ πολὺν κακῶς πρᾶξαι χρόνον. Οὐκ ἔστιν, ὡς λέγουσί τινες, τὰ Περιπατητικὰ

τινὰ δόγματα τ̃ Στωϊκῶν ἀγεννέστερα. τοσόντῳ δὲ μόνον ἀλλήλων, ὡς ἐγὼ κρίνω, διαφέρει· τὰ μὲν γάρ ἐστιν ἀεὶ θερμότερα καὶ ἀβελτότερα· τὰ δὲ φρονήσεως ἄξια, τοῖς ἐγνωσμένοις ἐμμένειν.

A tetica Philoſophia non eſt, ſicut quidam opinantur, ignavior Stoïca. Hoc autem, mea ſententia, inter utramque differt, quod altera ſit calidior, magisque turbulenta; altera prudentior, nempe, in ſententia permanendum.

Ἰουλιανὸς Εὐγενίῳ Φιλοσόφῳ.

ιη.

Δαίδαλον μὲν Ἰκαρίῳ φασὶν ἐκ κηροῦ πτερὰ συμπλάσαντα, τολμῆσαι τὴν φύσιν βιάσασθαι τῇ τέχνῃ. ἐγὼ δὲ ἐκεῖνον μὲν, εἰ καὶ τῆς τέχνης ἐπαινῶ, τῆς γνώμης οὐκ ἄγαμαι· μόνῳ γὰρ κηρῷ λυσίμῳ τὸ παιδὸς ὑπέμεινε τὴν σωτηρίαν πιστεῦσαι. Εἰ δέ μοι θέμις ἦν, κατὰ τ̃ Τήϊον ἐκεῖνον μελοποιὸν, εὐχῇ τὴν τῶν ὀρνίθων ἀλλάξασθαι φύσιν, οὐκ ἂν δήπου πρὸς Ὄλυμπον, οὐδὲ ὑπὲρ μέμψεως ἐρωτικῆς, ἀλλ' εἰς αὐτὰς ἂν τῶν ὑμετέρων ὀρῶν τὰς πρόποδας ἔπτην, ἵνα σε, τὸ μέλημα τὸμὸν· ὡς φησιν ἡ Σαπφώ· περιπλύξωμαι. Ἐπεὶ δέ με ἀνθρωπίνῳ σώματι δεσμῷ παλαιὸς ἔκλεισε φύσις, οὐκ ἐθέλει πρὸς τὸ μετέωρον ἁπλῶσαι τ̃ λόγον, οἷς ἔχω σε πτεροῖς μετέρχομαι, καὶ γράφω, καὶ σύνειμι τ̃ δυνατὸν τρόπον. πάντως που καὶ Ὁμηρῳ αὐτὰς οὐκ ἄλλο τ̃ χάριν, ἢ τοῦτο, πτερόεντας ὀνομάζει, διὰ ὅτι δύναιντο παντάχῃ φοιτᾶν, ὥσπερ οἱ ταχύτατοι τῶν ὀρνίθων, ἢ ἂν ἐθέλωσιν, ἄπτονται. Γράφε δὲ καὶ αὐτὸς, ὦ φίλε. ἴσθι γὰρ δήπου σοὶ τῶν λόγων, εἰ μὴ καὶ μείζων ὑπάρχει ἡ πτέρωσις, ἥ τε ἑταίρας μεταθεῖναι δύνασαι, καὶ πανταχόθεν, ὡς πάρεστιν, εὐφραίνειν.

Julianus Eugenio Philoſopho.

XVIII.

Dædalum narrant pennas Icario e cera finxiſſe, arteque naturam vincere tentaſſe. At ego illius quidem artem laudo, prudentiam tamen requiro: quippe cum ſolus ex omni memoria ſit auſus ceræ fluxæ ac fragili ſalutem filii committere: ego tamen, ſi mihi eſſet integrum juxta Teji illius Lyrici votum in avem mutari, non mehercule ad Olympum, neque obamatorias aliquas querimonias, ſed in ipſa montium veſtrorum cacumina volarem, quo te meam (ut ait Sappho) curam amplecterer. Quoniam igitur natura me in hoc ergaſtulum corporis incluſit, neque in ſublime verba mea explicare concedit, quibus poſſum alis te ſequor, & ſcribo, &, quo licet modo, tecum ſum. Homerus certe non alia ex cauſſa dixit verba alata, niſi quia omnem in partem ire poſſunt, ut velocisſimæ aves, quocunque volunt, proſiliunt. Veruntamen tu quoque, amice, viciſſim ſcribe. Nam & tibi par eſt, vel major, in dicendo alarum copia, qua & amicos potes commovere, & varie, tanquam præſens eſſes, delectare.

Ἰουλιανὸς Ἑκηβόλῳ.

ιθ.

Πινδάρῳ μὲν ἀργυρέας εἶναι δοκεῖ τὰς Μούσας, οἱονεὶ τὸ ἔκδηλον

Julianus Hecebolo.

XIX.

Pindarus argenteas Muſas eſſe vult: quaſi artis illarum claritatem & ſplendorem

dorem cum clariſſima rerum omnium materia conferat. Homerus ille ſapiens argentum illuſtre, & aquam argenteam appellat, quod ipſa ſpeciei ſuæ hilaritate & nitore non ſecus atque Solis radiis colluceat. Pulchra Sappho Lunam nominat argenteam, ob eamque cauſſam cæterorum ſiderum aſpectum ait ab ea obſcurari. Quare Diis argentum potius quam aurum congruere, conjectari poſſit aliquis. Nam quod hominibus ad uſum aptius & melius ſit argentum quam aurum, quodque magis eis adſit, neque ut aurum in terra occultetur, aut eorum oculos vitet, ſed & aſpectu jucundum ſit, & ad vitam commodius, non mea ſed veterum oratio eſt. Quod ſi nos etiam aureum nummum abs te miſſum, argento remunerari voluimus, ne putes ideo leviore te affectum eſſe munere: neque, ut Glauco in armorum commutatione, ſic tibi in hac referenda gratia, exiſtimes accidiſſe: neque enim Diomedes ipſe forſitan argentea arma pro aureis dedit, quippe cum longe his utiliora illa eſſent, & ad retundendas inſtar plumbi acies aptiora. Hæc tecum jocati ſumus, ex iis, quæ ipſe ſcribis, occaſionem nacti liberius in te dicendi. Tu ſi pretioſiora auro munera nobis largiri vis, ſcribe, aſſidueque id facito. Mihi namque quamvis parva abs te epiſtola, tamen maximis etiam bonis anteponetur.

A αὐτῶν, καὶ περιφανὲς τῆς τέχνης, εἰς τὸ τὲ ὕλης λαμπρότερον ἀπεικάζοντι. Ὅμηρος δὲ ὁ σοφὸς, τόν τε ἄργυρον ἀγλαὸν λέγει, καὶ τὸ ὕδωρ ἀργύρεον ὀνομάζει, καθάπερ Ἡλίου καθαραῖς ἀκτῖσιν αὐτῷ τῷ τῆς εἰκόνος φαιδρῷ μαρμαρύσαν. Σαπφὼ ἡ καλὴ τὴν Σελήνην ἀργυρέαν φησὶ, καὶ διὰ τὸτο τῶν ἄλλων ἀστέρων ἀποκρύπτειν τὴν ὄψιν. Οὕτω καὶ θεοῖς τ' ἄργυρον μᾶλλον, ἢ τὸν χρυ-
B σὸν ἁρμόσειεν ἄν τις πρέπειν. ἀνθρώποις γε μὴν, ὅτι πρὸς τὴν χρείαν ἐστὶν ὁ ἄργυρος τοῦ χρυσοῦ τιμιώτερος, καὶ σύνεσι μᾶλλον αὐτοῖς ἔχ ὥσπερ ὁ χρυσὸς ἐπὶ γῆς κρυπτόμενος, ἢ φεύγων αὐτῶν τὴν ὄψιν, ἀλλὰ καὶ ὀφθῆναι καλὸς, καὶ ἐν διαιτήμασι κρείττων, οὐκ ἐμὸς ἴδιος, ἀλλὰ παλαιῶν ἀνδρῶν ὁ λόγος ἐστίν. Εἰ δὲ καὶ σοὶ τοῦ πεμφθέντος ὑπὸ σοῦ χρυσοῦ νο-
C μίσματος, εἰς τὸ ἴσον τῆς τιμῆς ἕτερον, ἀργύριον ἀντιδίδομεν, μὴ κρίνῃς ἧττον τὴν χάριν, μηδὲ ὥσπερ τῷ Γλαύκῳ πρὸς τὸ ἔλαττον οἰηθῇς εἶναι τῶν ὅπλων τὴν ἀντίδοσιν· ἐπεὶ μὴ δὲ ὁ Διομήδης ἴσως ἀργυρᾶ χρυσῶν ἀντέδωκεν, ἅτε δὴ πολλῷ τ' ἑτέρων ὄντα χρησιμώτερα, καὶ τὰς αἰχμὰς οἱονεὶ μολίβδου δίκην ἐκτρέπειν εἰδότα. Ταῦτά σοι προσπαίζομεν, ἀφ' ὧν
D αὐτὸς γράφεις, τὸ ἐνδόσιμον εἰς σὲ τῆς παῤῥησίας λαμβάνοντες. σὺ δὲ εἰ τῷ ὄντι χρυσοῦ τιμιώτερα ἡμῖν δῶρα ἐθέλεις ἐκπέμπειν, γράφε, καὶ μὴ λῆγε συνεχῶς τοῦτο πράττων. ἐμοὶ γὰρ καὶ γράμμα παρά σου μικρὸν, ὅτου περ ἂν εἴπῃ τις ἀγαθοῦ κάλλιον ἂν εἶναι κρίνεται.

JULIANUS EUSTOCHIO.

XX.

HEſiodus ille ſapiens vicinos ad convivia vocandos eſſe cenſet,

Ἰουλιανὸς Εὐσοχίῳ.

κ.

ΗΣιόδῳ μὲν δοκεῖ τῷ σοφῷ καλεῖν ἐπὶ τὰς ἑορτὰς τοὺς γείτο-

 νας,

νας, ὡς συνησθησομένους, ἐπειδὴ καὶ συναλγοῦσι, καὶ συναγωνιῶσιν, ὅταν τις ἀπροσδόκητος ἐμπέσῃ ταραχή. Φημὶ δὲ τοὺς φίλους δεῖν καλεῖν, οὐ τοὺς γείτονας· τὸ αἴτιον δὲ, ὅτι γείτονα μὲν ἔνεστιν ἐχθρὸν ἔχειν· φίλον δὲ, οὐ μᾶλλον, ἢ τὸ λευκὸν μέλαν εἶναι, καὶ τὸ θερμὸν ψυχρόν. Ὅτι δὲ ἡμῖν οὐ μόνον νῦν, ἀλλὰ καὶ πάλαι φίλος εἶ, καὶ διετέλεσας εὐνοϊκῶς ἔχων, εἰ καὶ μηδὲν ὑπῆρχεν ἄλλο τεκμήριον, ἀλλὰ τό γε ἡμᾶς οὕτω διατεθεῖσθαι καὶ διακεῖσθαι περί σε, μέγα ἂν εἴη τούτου σημεῖον. Ἧκε τοίνυν μεθέξων τῆς ὑπατείας αὐτός. ἄξει δέ σε ὁ δημόσιος δρόμος, ὀχήματι χρώμενον ἑνὶ καὶ παρίππῳ· εἰ δὲ χρή τι καὶ ἐπεύξασθαι, τὴν Ἐνοδίαν εὐμενῆ σοι, καὶ τὸν Ἐνόδιον παρακεκλήκαμεν.

προσεπεύξασθαι Horkel p. 39

A ut communiter gaudeant, quandoquidem cum perturbatio casusque aliquis inopinatus incidit, communem dolorem perferunt. At ego amicos, non vicinos, vocandos existimo. Quamobrem? quia vicinus potest aliquando esse inimicus; at amicus non magis id esse potest, quam quod album est nigrum, aut quod calidum frigidum. Te vero non solum hoc tempore, sed etiam multo ante, amicum fuisse, & deinde semper eadem voluntate nos prosecutum esse, si nihil aliud, certe hoc testificatur, quod tam vehementer te amamus. Veni igitur, ut Consulatus honore fungaris. Ducet autem te publicus cursus uno vehiculo, & parhippo. Quod si est præterea optandum aliquid, Enodiam tibi amicam, Enodiumque accersivimus.

B

Ἰουλιανὸς Καλλιξείνῃ, κα.

C

Χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος· ὡς παρὰ τῶν ἔμπροσθεν ἔγνωμεν. ἐγὼ δὲ φαίην, ὅτι καὶ τὸν εὐσεβῆ, καὶ τὸν φιλόθεον. ἀλλ' ἐμαρτυρήθη, φησὶ, καὶ ἡ Πηνελόπη φίλανδρος. εἶτα μετὰ τοῦ φιλάνδρου, τὸ φιλόθεον τίς ἐν γυναικὶ δεύτερον τίθησι, καὶ οὐ φανεῖται πολὺν πάνυ τὸν μανδραγόραν ἂν ἐκπεπωκώς; Εἰ δὲ καὶ τοὺς καιρούς τις ἐν νῷ λάβοι, καὶ τὴν Πηνελόπην ἐπαινουμένην σχεδὸν ὑπὸ πάντων ἐπὶ τῇ φιλανδρίᾳ, κινδυνευούσας δὲ τὰς εὐσεβεῖς ὀλίγῳ πρότερον γυναῖκας, καὶ προσθήκη δὲ τῶν κακῶν, ὅτι καὶ διπλάσιος ὁ χρόνος, ἆρ' ἔστι σοὶ τὴν Πηνελόπην ἀξίως παραβάλλειν; Ἀλλὰ μὴ μικροὺς ποιοῦ τοὺς ἐπαίνους· ἄνθ' ὧν ἀμείψονται μέν σε πάντες οἱ θεοί. καὶ τὰ παρ' ἡμῶν

Julianus Callixenæ. XXI.

Justum virum longa arguit solum dies. Sic sane veteres. At ego addam, etiam pium & religiosum virum tempore argui. At enim, inquies, Penelopes etiam amor & fides erga virum tempore cognita est. Et quis tandem, inquam, in muliere amorem conjugis sui religioni ac pietati anteponet, quin continuo mandragoræ multum bibisse judicetur? Quod si quis etiam tempora consideret, & Penelopen ab omnibus prope de viri amore laudatam, cum mulieribus ante paucos dies ob pietatem de vita dimicantibus, quodque ad mala hæc accedit, temporis duplum conferat: an jure poterit Penelopen tecum comparare? Tu vero noli parvas eas laudes ducere; pro quibus &

D

Dii

Dii omnes tibi meritas gratias relaturi sunt, & nos pro parte nostra te duplici sacerdotio ornamus, atque ad illud quod antea habebas, tum Cereris sanctissimæ, tum magnæ matris Phrygiæ Deæ in sacra Pisinunte, sacerdotium adjungimus.

A διπλῇ σε τιμήσομεν τῇ ἱερωσύνῃ πρὸς ᾗ πρότερον εἶχες τῆς ἁγιωτάτης θεοῦ Δήμητρος, καὶ τῆς μεγίστης Μητρὸς θεᾶς τῆς Φρυγίας ἐν τῇ θεοφιλεῖ Πισινοῦντι τὴν ἱερωσύνην ἐπιτρέπομέν σοι.

JULIANUS LEONTIO.

XXII.

ILle scriptor historiæ Thurius aures dixit esse hominibus minus fideles, quam oculos. Atego in te contra sentio, magisque auribus, quam oculis, credo. Nunquam enim, ne si decies quidem te vidissem, tantum fidei oculis, quantum nunc auribus, tribuissem: quippe cum ab homine minime mendaci te, cum semper virum esse intellexerim, tum in agendo, pedibus manibusque (ut ait Homerus) ita contendere, ut teipsum superare videaris. Quare armorum usum tibi permittimus, armaque universa mittimus, quibus adhuc pedites utuntur, (sunt autem hæc equestribus armis leviora) teque domesticorum numero adscribimus, qui ex iis delecti sunt, qui arma gestarunt, bellisque interfuerunt.

Ἰουλιανὸς Λεοντίῳ.

κβ.

Ἡμὲν ἠχὼ θεὸς ἔσω, κατὰ σὲ, κἠ λάλος· εἰ δὲ βάλοι, καὶ Πανὶ σύζυγος. ὐ γὰρ διόισομαι. κἂν γὰρ ἐθέλῃ με διδάσκειν ἡ Φύσις, ὅτι ἐσὶν ἠχὼ φωνῆς ἐς ἀέρος πλῆξιν ἀντίτυπος ἠχὴ, πρὸς τὔμπαλιν τ' ἀκοῆς ἀνταναklωμένη· ὅμως παλαιῶν ἀνδρῶν ἔτι καὶ νέων, ὐκ ἔλαττον ἢ τῷ σῷ πειθόμενος λόγῳ, θεὸν εἶναι τὴν ἠχὼ δυσωπῦμαι. Τί γὰν ἂν εἴη τὔτο πρὸς ἡμᾶς, εἰ πολλῷ τῷ μέτρῳ τοῖς πρὸς σὲ Φιλικοῖς τὴν ἠχὼ νικῶμεν; ἡ μὲν γὰρ ὐ πρὸς ἅπαντα, ὅ, τι ἂν ἀκύσῃ, μᾶλλον ἢ πρὸς τὰ ἔσχατα τῆς Φωνῆς ἀντιφθέγγεται· καθάπερ ἐρωμένη Φειδωλὸς ἄκροις ἀντιφιλῦσα τὸν ἐρασὴν τοῖς χείλεσιν. Ἡμεῖς δὲ καὶ τῶν πρὸς σὲ κατάρχομεν ἡδέως· καὶ ἄυθις εἰς τὴν παρὰ σὔ πρόσκλησιν, οἱονεὶ σφαίρας δίκην, τὸ ἴσον ἀντιπέμπομεν. Ὥσε ὐκ ἂν φθάνοις αὐτὸς ἔνοχος ὢν οἷς γράφεις· καὶ σαυτὸν, ἀφ' ὧν πλέον λαμβάνων, ἐλάχισον ἀντιδίδως, ὐχ ἡμᾶς, ἐν οἷς ἐπ' ἄμφω πλεονεκτεῖν σπεύδομεν, ἐς τὸ ὅμοιον τῆς εἰκόνος ἐγκρίνων. Πλὴν ἄν τε ἴσῳ τῷ μέτρῳ διδῷς ὅπερ ἂν λάβῃς· ἄν τε μή· ἡμῖν ὅ, τι ἂν ἐξῇ

GEORGIO CATHOLICO.

LIV.

B ESto vero, ita ut dicis, Dea quædam, & loquax Echo: ac Panos adeo, ſi placet, conjux. Non enim repugnem. Nam tametſi natura nos ipſos docere conetur, Echo nihil aliud eſſe, niſi vocis ex aëris percuſſione reſpondentem ac reſonantem imaginem, quæ aurium ex adverſo reciprocatur ac refringitur; tamen eandem illam Echo deam eſſe, non magis tuo, C quam veterum ac recentiorum omnium, ſermone ac ſententia, adducor ut credam. Sed quid noſtra illud intereſt, ſi in amore erga te longo a nobis Echo intervallo ſuperatur? Hæc enim, quicquid audierit, non ad omnia potius, quam ad vocis extrema reſpondet: ſic tanquam præparca quædam amicula, quæ amatorem ſuum ſummis tantummodo labris oſculatur. Nos vero cum libenter hoc tibi genere officii præimus; tum abs te ipſo provocati, velut in pilæ ludo, par viciſſim remittimus. D Quocirca nunquam effugies, quin tutemet in iis, quæ ſcribis, reus atque obnoxius tenearis: ac teipſum, quatenus plura idem accipis, & quam minimum reddis; non utique nos, qui in ambobus ſuperiores eſſe ſtudemus; in illius imaginis ſimilitudine reponas. Veruntamen ſive eadem menſura reddis quod acceperis, ſive non reddis; quicquid eſt, quod a te licet

cet accipere, mihi hoc gratissimum est, & in solidum sufficere persuasum habeo.

A παρὰ σοῦ λαβεῖν, ἡδὺ, καὶ πρὸς τὸ ὅλον ἀρκεῖν πιστεύεται.

EUMENIO & PHARIANO.

LV.

SI quis est, qui id vobis persuaserit, jucundius aliquid & utilius hominibus esse, quam in otio ac secure philosophari, falsus hic opinione vos fallit. Sin pristina in vobis adhuc alacritas perseverat; neque confestim, emicantis flammæ instar, extincta est; equidem felices vos esse judico. Quartus jam annus abiit, ac tertius fere præterea mensis, ex quo ab invicem sejuncti sumus. Quantum igitur toto illo interjecto tempore progressum habueritis, libenter nspexerim. Nam quod ad me attinet, mirum est si vel Græce loqui possim: tantam ex regionibus istis barbariem contraximus. At vos neque oratorium studium contemnite: neque rhetoricam aut poëtarum lectionem negligite; sed ita tamen, ut in disciplinas ipsas vehementius incumbatis. Itaque labor omnis vester in Aristotelicorum Platonicorumque dogmatum scientia versetur. Vestrum hoc opus sit: hoc crepido, fundamentum, ædificium, tectum: reliqua sint accessionis instar: quæ majore tamen a vobis studio, quam legitima opera ab nonnullis, elaborentur. Ego vero, per divinum jus fasque, vos tanquam fratres diligens, id vobis consilii dedi: utpote condiscipulis olim meis, & amicitia conjunctissimis. Quod si mihi hac in re parueritis, ego vos majori quodam amore complectar; sin minus responderitis, equidem res dolebo. Porro continuus dolor quem tandem exitum habeat, melioris ominis caussa, tacere malo.

Εὐμενίῳ καὶ Φαριανῷ.

νέ.

ΕΙ τις ὑμᾶς πέπεικεν, ὅτι τοῦ φιλοσοφεῖν ἐπὶ σχολῆς ἀπραγμόνως ἐστὶν ἥδιον, ἢ λυσιτελέστερόν τι τοῖς ἀνθρώποις, ἠπατημένος ἐξαπατᾷ. Εἰ δὲ μένει παρ' ὑμῖν ἡ πάλαι προθυμία, καὶ μὴ, καθάπερ φλὸξ λαμπρὰ, ταχέως ἀπέσβη· μακαρίους ἔγωγε ὑμᾶς ὑπολαμβάνω. Τέταρτος ἐνιαυτὸς ἤδη παρελήλυθε, καὶ μὴν οὑτοσὶ τρίτος ἐπ' αὐτῷ σχεδὸν, ἐξότε κεχωρίσμεθα ἡμεῖς ἀλλήλων. ἡδέως δ' ἂν ἐσκεψάμην, ἐν τούτῳ πόσον τι προεληλύθατε. Τὰ δὲ ἐμὰ, εἰ καὶ φθεγγοίμην Ἑλληνιστὶ, θαυμάζειν ἄξιον· οὕτως ἐσμὲν ἐκβεβαρβαρωμένοι διὰ τὰ χωρία. Μὴ καταφρονεῖτε τῶν λογιδίων· μηδὲ ἀμελεῖτε τῆς ῥητορικῆς· μηδὲ τοῦ ποιήμασιν ὁμιλεῖν. ἔστω δὲ τῶν μαθημάτων ἐπιμέλεια πλείων. ὁ δὲ πᾶς πόνος, τῶν Ἀριστοτέλους καὶ Πλάτωνος δογμάτων ἐπιστήμη. τοῦτο ἔργον ἔστω· τοῦτο κρηπίς, θεμέλιος, οἰκοδομία, στέγη· τἄλλα δὲ πάρεργα, μετὰ μείζονος σπουδῆς παρ' ὑμῶν ἐπιτελούμενα, ἢ παρά τισι τὰ ἀληθῶς ἔργα. Ἐγὼ, νὴ τὴν θείαν δίκην, ὑμᾶς ὡς ἀδελφοὺς φιλῶν, ταῦτα ὑμῖν συμβουλεύω. γεγόνατε γάρ μοι συμφοιτηταὶ, καὶ πάνυ φίλοι. εἰ μὲν οὖν πεισθείητε, πλέον στέρξω· ἀπειθοῦντας δὲ ὁρῶν λυπήσομαι. λύπη δὲ συνεχὴς εἰς ὅ ποτε τελευτᾷν εἴωθεν, εἰπεῖν παραιτοῦμαι οἰωνοῦ κρείττονος ἕνεκα.

A

Ἐκδικίῳ.

νζ.

Ἄξιόν ἐσιν, εἴπερ ἄλλε τινὸς, καὶ τῆς ἱερᾶς ἐπιμεληθῆναι μεσικῆς. ἐπιλεξάμενος ὧν ἐκ τε δήμε τῶν Ἀλεξανδρέων εὖ γεγονότας μειρακίσκες, ἀρτάβας ἑκάσῳ κέλευσον δύο τε μηνὸς χορηγεῖσθαι· ἔλαιόν τε ἐπ' αὐτῷ, καὶ σῖτον, καὶ οἶνον· ἐσθῆτα δὲ παρέξσιν οἱ τε ταμείε πρεσβῶτες. ὅτοι δὲ τέως ἐκ φωνῆς καλαλεγέσθωσαν. Εἰ δέ τινες δύναιντο καὶ τῆς ἐπισήμης αὐτῆς εἰς ἄκρον μετασχεῖν· ἴσωσαν ἀποκείμενα πάνυ μεγάλα τε πόνε τὰ ἆθλα κὴ παρ' ἡμῶν. Ὅτι γὰρ πρὸ ἡμῶν αὐτοὶ τὰς ψυχὰς ἀπὸ τῆς θείας μεσικῆς καθαρθέντες ὀνήσονται, πισευτέον τοῖς ἀποφαινομένοις ὀρθῶς ὑπὲρ τέτων. ὑπὲρ μὲν ὧν τῶν παίδων τοσαῦτα. Τὰς δὲ νῦν ἀκροωμένας τε μεσικὲ Διοσκόρε, ποίησον ἀντιλαβέσθαι τ' τέχνης προθυμότερον. ὡς ἡμῶν ἑτοίμων, ἐπὶ ὅπερ ἂν ἐθέλωσιν, αὐτοῖς συνάρασθαι.

B

C

ECDICIO.

LVI.

SI qua res est studio nostro curaque digna, ejusmodi esse sacra musica videtur. Tu igitur ex Alexandrinorum populo delectis bonæ indolis adolescentulis, menstruas in singulos artabas duas erogari præcipe: nec non oleum, frumentum, & vinum: vestem porro præbebunt ærarii præfecti. Atque illi quidem interim ex voce conscribantur. Quod si aliqui perfecte artem illam consequi potuerint, sciant haud mediocria sibi laborum illius præmia etiam a nobis esse constituta. Nam quod, citra nostra illa præmia, non mediocrem fructum divinæ ope musicæ ex animorum suorum purgatione percepturi sint, persuadent illi qui recte hac de re statuerunt. De pueris igitur ita præcipimus. Jam vero quod ad musici Dioscori discipulos attinet, fac ut artem illam studiosius addiscant. Nos enim ad illos, quacunque in re voluerint, juvandos parati sumus.

Ἐλπιδίῳ Φιλοσόφῳ

νς'.

D

Ἔστι καὶ μικρᾶ γράμματος ἡδονὴ μείζων, ὅταν ἡ τᾶ γράφοντος ἔυνοια, μὴ τῇ τῆς ἐπισολῆς σμικρότητι μᾶλλον, ἢ τῷ τῆς ψυχῆς μεγέθει σεβῆται. Εἰ δὲ δὴ νῦν βραχέα τὰ τῆς ψυχῆς προσρήσεως ὑφ' ἡμῶν γένηται, μὴ ἄτω τὸν ἐπ' αὐτοῖς πόθον τεκμηριώσῃ. ἀλλ' εἰδὼς ἐφ' ὅσον ὁ παρ' ἡμῶν ἔρως ἐπὶ σοὶ τέταται, τῇ μὲν τᾶ γράμματος βραχύτητι συγγνώμην νέμε· τοῖς ἴσοις δὲ

ELPIDIO PHILOSOPHO.

LVII.

AFfert & epistola parva voluptatem majorem, cum ejus, qui scripsit, benevolentia, non parvitate potius epistolæ, quam animi magnitudine, *confirmatur*. Quamobrem si hæc *animi* salutatio paulo a nobis brevior instituatur, noli de nostro in te studio conjecturam ex ea re facere. Immo vero cum meus amor in te quam vehemens sit, optime noris, litterarum brevitati sic ignoscas velim, ut sine ulla

cuncta-

cunctatione viciſſim reſcribas. Quicquid enim a te in nos profectum fuerit, id, etſi parvum eſt, boni ſpecimen ominis apud nos obtinet.

ἡμᾶς ἀμείβεσθαι μὴ καλόκηϛ. Πᾶν γὰρ ὅ, τι ἂν διδῷς, κἂν μικρὸν ᾖ, παντὸς ἀγαθῦ γνώρισμα παρ' ἡμῖν σώζῃ.

JULIANUS ALEXANDRINIS.

LVIII.

OBeliſcum apud vos eſſe audio lapideum juſtæ altitudinis; deſpici tamen, &, ut quid vile, jacere in littore. Eum Divus Conſtantius inſtructo navigio Conſtantinopolim, patriam meam, advehi præceperat. Sed quandoquidem ille, Diis ita volentibus, fatalem iſtinc ad plures migrationem migravit, exigit a me eadem civitas donarium: quum ipſa mihi ſit patria, adeoque majore mihi quam illi neceſſitudine conjuncta. Ille namque eam ut ſororem quidem, at ego ut matrem amo: in ejus enim ſolo primum ſteti in lucem editus, illic altus educatusque ſum: nec fieri ulla ratione poteſt, ut in illam ingratus unquam videar.

Ἰουλιανὸς Ἀλεξανδρεῦσιν.

νή.

OBελὸν εἶναι παρ' ὑμῖν ἀκέω λίθινον εἰς ὕψος ἱκανὸν, ἠρμένον ἐπὶ τῆς ἠϊόνος, ὥσπερ ἄλλό τι τῶν ἀτιμοτάτων ἐῤῥιμμένον. ἐπὶ τούτῳ ἐναυπήγησε σκάφος ὁ μακαρίτης Κωνσάντιος, ὡς μελάξων αὐτὸν εἰς τὴν ἐμὴν πατρίδα Κωνσαντίνου πόλιν. Ἐπεὶ δὲ ἐκείνῳ συνέβη, θεῶν ἐθελόντων, ἐνθένδε ἐκεῖσε πορευθῆναι τὴν εἱμαρμένην πορείαν, ἡ πόλις ἀπαιτεῖ παρ' ἐμοῦ τὸ ἀνάθημα· πατρίς ἐσά μοι, καὶ προσήκουσα πλέον ἢπερ ἐκείνῳ. Ὁ μὲν γὰρ αὐτὴν ὡς ἀδελφὴν, ἐγὼ δὲ ὡς μητέρα φιλῶ· καὶ γὰρ ἐγενόμην παρ' αὐτῇ, καὶ ἐτράφην ἐκεῖσε, καὶ ἃ δύναμαι περὶ αὐτὴν ἀγνωμονῆσαι.

DIONYSIO.

LIX.

* * * *

Quid igitur? neque enim ulla tunc adficiebaris injuria: etſi ita tibi fortaſſe videbatur, quod me tuis amicis adſimilem eſſe exiſtimas: quorum utrique tu te invocatum dediſti, maxime autem priori invocatum, alteri vero tantum annuenti tuam ſibi gratam fore operam, obedientiſſime paruiſti. Cæterum, an ego ſim Conſtanti an Magnentio ſimilis, res ipſa olim, quod ajunt, indicabit. Tu vero, ut eſt apud Comicum, teipſum laudas, velut Aſty-

Διονυσίῳ.

νθ.

* * *

Τί ἦν; ἃ γὰρ ἐλοιδορῆ τότε· καί τοι διανοούμενος ἴσως αὐτὸ, ἠ βλασφημίαν νομίζων, ὅτι με τοῖς σεαυτῆ φίλοις ὑπέλαβες εἶναι προσόμοιον. ὧν ἑκατέρῳ δέδωκας σεαυτὸν ἄκλητον, μᾶλλον δὲ τὸ μὲν ἄκλητον τῷ προτέρῳ, τῷ δευτέρῳ δὲ ἐνδειξαμένῳ μόνον, ὅτι σὲ συνεργὸν ἐθέλοι προσλαβεῖν, ὑπήκουσας. Ἀλλ' εἰ μὲν ἐγὼ προσόμοιός εἰμι Κώνσαντι καὶ Μαγνεντίῳ, τὸ πρᾶγμα αὐτὸ, φασὶ, δείξει. Σὺ δ' ὅτι καλὰ τὸν κωμικὸν, σαυτὴν ἐπαινεῖς, ὥσπερ Ἀσυ-

δάμας, γύναι· πρόδηλόν ἐστιν ἐξ ὧν ἐπέστειλας. ἡ γὰρ ἀφοβία, καὶ τὸ μέγα θράσος, καὶ τὸ, εἴθ' ἐμὲ γνοίης, οἷός εἰμι· καὶ πάντα ἁπλῶς τὰ τοιαῦτα, βαβαὶ, πηλίκα κτύπα καὶ κόμπα ῥημάτων εἰσίν· ἀλλὰ καὶ πρὸς τῶν Χαρίτων, καὶ τ' Ἀφροδίτης, εἰ καὶ τολμηρὸς ἔτω, καὶ γενναῖος * * *

τούτῳ Ηοικελ. Η ἢ τοῦτο νομίζεις ὑπὲρ τῶν παλαιῶν ἁμαρτημάτων ἀπολογεῖσθαι πρὸς ἅπαντας, καὶ τῆς πάλαι ποτὲ μαλακίας παραπέτασμα τὴν νῦν ἀνδρείαν εἶναί σοι. Τὸν μῦθον ἀκήκοας"· γαλῆ ποθ' ἀνδρὸς εὐπρεπῆς ἐραθεῖσα· τὰ δὲ ἄλλα ἐκ τῆς βιβλίου μάνθανε. Πολλὰ εἰπὼν οὐδένα ἂν πείσῃς ἀνθρώπων, ὡς σὺ γέγονας ὅπερ ἦν γέγονας, καὶ οἷον οἱ πολλοὶ πάλαι σε ἠπίσαντο. τὴν νῦν δὲ ἀμαθίαν, καὶ τὸ θράσος, ἡ φιλοσοφία, μὰ τοὺς θεούς, ἐνεποίησέ σοι· τοὐναντίον δὲ ἡ διπλῆ καλὰ Πλάτωνα ἄγνοια. κινδυνεύων γὰρ εἰδέναι μηδὲν, ὡς οὐδὲ ἡμεῖς, οἴῃ πάντων εἶναι σοφώτερος, οὐ τῶν νῦν ὄντων, ἀλλὰ καὶ τῶν γεγονότων, ἴσως δὲ καὶ ἐσομένων· ἔτω σοι πρὸς ὑπερβολὴν ἀμαθίας τὰ τῆς οἰήσεως ἐπέδωκε. ἀλλὰ σοὶ μὲν ἕνεκα, καὶ ταῦτα ἱκανῶς εἴρηταί σοι. Πλείω δεῖ ἴσως ἀπολογήσασθαι διά σε καὶ τοῖς ἄλλοις, ὅτι προχείρως ἐπὶ κοινωνίαν σε παρεκάλεσα πραγμάτων. οὐ πρῶτος, οὐδὲ μόνος ἔπαθον, ὦ Διονύσιε. ἐξηπάτηκε καὶ Πλάτωνα ὁ σὸς ὁμώνυμος· καὶ τί δὴ χρὴ λέγειν ὑπὲρ τούτου, ὅπως καὶ τῶν Ἀσκληπιαδῶν ὁ κράτιστος Ἱπποκράτης· " ἔσφηλαν δέ μου τὴν γνώμην αἱ περὶ τὴν κεφαλὴν ῥαφαί; Εἶτ' ἐκεῖνοι μὲν ὑπὲρ ὧν ἤδεσαν ἐξηπάτησαν, καὶ τὸ τεχνικὸν ἐλάνθανε τὸν ἰατρὸν θεώρημα. θαυμαστέον δὲ, εἴπερ Ἰουλιανὸς ἀκούσας ἐξαίφνης ἀνδρίζεσθαι τὸν Νειλῶον ἢ Διονύσιον, ἐξεπλήγη; ἀκούεις ἐκεῖνον τὸν Ἠλεῖον Φαίδωνα,

add. τὸν Gabriis Baroc.

add. ἔφη Baroc.

A damas, mulier. Atque id ex iis quæ ſcripſiſti liquet: omnia enim illa, imperterrita mens, & ingens audacia; itemque illud, Utinam me noſſes qualis ſum; & cætera deinceps ejusmodi, papæ! ut perſonantia ſunt, & tumida, turgidaque. Sed Gratias teſtor & Venerem, ſi & audax ſic & generoſus * * * An id putas, quæcunque a te pridem ſunt peccata, facile apud omnes excuſari purgarique, & nupera fortitudine umbram mollitiei priſtinæ obduci? Fabulam audiviſti. Muſtela quondam amore capta viri formoſi: cætera e libro diſce. Quamvis multa dicas, nemini tamen perſuadebis unquam, te eum non fuiſſe qui fueris, & qualem te permulti jampridem norunt. Nunc autem inſcitiam tibi ac temeritatem, non philoſophia, nec id Dii velint, attulit, ſed potius duplex, ut ait Plato, ignorantia. Quum enim expertus ſcire potueris te nihil ſcire, quod & nos de nobis ipſi fatemur; autumas te ſapientiſſimum omnium qui ſunt, qui fuerunt, quique futuri ſunt poſthac: tantum in te ſtoliditatis de tua opinione exuberat. Sed hæc tibi quidem propter te dicta plus ſatis. Verum mihi pluribus fortean apud alios agendum eſt, quod tam ſimpliciter te ad rerum gerendarum ſocietatem vocavi. Nec primus ego, nec ſolus indigna ſum paſſus, Dionyſi. Decepit & Platonem cognominis tibi Dionyſius. Et quid hic moror? nonne & medicorum præſtantiſſimus Hippocrates dixit: opinionem meam ſuturæ capitis fefellerunt. At illi quidem in iis, quæ noſſe apprime debuerant, decepti ſunt, medicumque latuit artis ſuæ conſideratio: mirum vero, ſi & Julianus, audiens Nilotem aut Dionyſium deſubito virum extitiſſe, deceptus eſt? Audis Eleum illum Phædonem, & hiſtoriam

noſti

nosti. Sin secus, accuratius cogita: nec enim dicam. Putabat ille, neminem esse tam prave affectum, quem Philosophia non curaret; omnesque illius ope libidines, cupiditates, affectus, atque, ut uno semel verbo dicam, cuncta hujuscemodi, tolli facillime posse. Nam si bene & feliciter natis hoc solum sufficit, quod bene & feliciter sunt nati, quid mirum, si accedente Philosophia hæc etiam constent? Nec enim, opinor, sponte lubenterque turpi mendacio incumbet, qui suapte natura vera dicere consuevit. Sed tuam confidentiam audaciamque puta quatuor obolis, quod vulgo dicitur, dignam. Enimvero non magnum est facinus aliis obloqui, sed eum se præstare, quem nemo jure suggillet. Tu si is sis, fac nos, amabo te, ut videamus. Illud strenui prudentisque viri non est, cordatissime Dionysi, discedere principibus invisum infensumque. At tum demum bonus merito prædicaberis, quum tua consuetudine & familiaritate homines nobis reddideris sapientiores. Sed hoc tibi nunquam, neque aliis mille tui similibus, continget. Etenim saxa saxis si confligant, & lapides lapidibus si collidantur, nihil sibi invicem prosunt, sed mollior a duriore facile teritur. Nempe hæc non Laconice, aut concise: ego enim arbitror me tua caussa loquaciorem Attica cicada videri. Pro tuis autem in me contumeliis conviciisque faxo pœnas mihi luas, ut par erit, annuentibus Diis dominaque Adrastea. Quonam pacto, ais? & quidnam præcipue conabor, quum verbo & opere peccare sit proclive? Obstruam quantum in me erit, pervicaci & maledicæ tuæ linguæ ac futilitati rimas. Etsi nescius non sim, Veneris ipsus soleam Momi dicteria

καὶ τὴν ἱστορίαν ἐπίσασαι· εἰ δὲ ἀγνοεῖς, ἐπιμελέστερον πολυπραγμόνησον, ἐγὼ δὲ σὲ οὐκ ἐρῶ, τοῦτο. Ἐκεῖνο ἐνόμιζεν, ἀνίατον οὐδένα τῇ Φιλοσοφίᾳ· πάντας δὲ ἐκ πάντων ὑπ' αὐτῆς καθαίρεσθαι βίον, ἐπιτηδευμάτων, ἐπιθυμιῶν, πάντων τῶν ἁπαξαπλῶς τοιούτων. εἰ γὰρ τοῖς εὖ πεφυκόσι καὶ καλῶς τεθραμμένοις ἐπήρκει μόνον, οὐδὲν ἦν θαυμαστὸν τὸ κατ' αὐτήν. πέπεισμαι γὰρ ὅτι εἴ ποτ' ἂν ἑκὼν ψεύσαιτο, τὰ πάντα ἀληθίζεσθαι πεφυκώς. Ἀλλὰ τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν, τὸ λεγόμενον, ἀξίαν. πλὴν οὐ μέγα ἔργον ἐστὶν ἐπιτιμᾶν ἄλλοις, αὐτὸν δὲ ἀνεπιτίμητον παρασχεῖν. εἰ δέ σοι ταύτης μέτεστι τῆς μερίδος, ἐπίδειξον ἡμῖν. Οὐ τούτων ἐστὶν, ὦ συνετώτατε Διονύσιε, σπουδαίου καὶ σώφρονος ἀνδρὸς, ἀπεχθόμενον ἀπελθεῖν τοῖς κρατοῦσιν. ἦθα δὲ ἂν βελτίων, εἰ τοὺς ἀνθρώπους ἐκ τῆς πρὸς ἑαυτὸν συνουσίας ἀπέφηνας ἡμῖν μετριωτέρους. Ἀλλὰ τοῦτο μὲν οὐ καλά σε, μὰ τοὺς θεούς, οὐδὲ καλὰ μυρίους ἄλλους, ὅσοι ζηλοῦσι τὸν σὸν τρόπον. πέτραι γὰρ πέτραις, καὶ λίθοι λίθοις προσαρατλόμενοι, οὐκ ὠφελοῦσι μὲν ἀλλήλους, ὁ δὲ ἰσχυρότερος συντρίβει τὸν ἧττονα εὐχερῶς. Ἆρα μὴ λακωνικῶς ταῦτα καὶ συντόμως. ἐγὼ μὲν, οἶμαι, λαλίστερος διά σε καὶ τῶν Ἀττικῶν ἀποτεφάνθαι τεττίγων. Ὑπὲρ δὲ ὧν εἰς ἐμὲ πεπαρῴνηκας, ἐπιθήσω σοὶ δίκην τὴν πρέπουσαν, ἐθελόντων θεῶν καὶ τῆς δεσποίνης Ἀδρασείας. Τίς ἂν ἡ δίκη; καὶ τί μάλιστα πειράσομαι, διά τε τῶν λόγων καὶ τῶν ἔργων ἐξαμαρτών; μὴ παρασχέσθαι σοῦ τῇ κακηγόρῳ γλώττῃ πολλὴν φλυαρίαν. Καί τοι με οὐ λέληθεν, ὅτι καὶ τὴν Ἀφροδίτης φασὶν ὑπὸ τοῦ Μώμου ἐσκῶφθαι τὸν σάνδαλον.

ἀλλ' ὁρᾷς ὅτι πολλὰ καὶ ὁ Μῶμος ἐρ-
ρήγνυτο, καὶ μόλις ἐλάμβανε τὸ σαν-
δάλιον. Εἴη δὲ καί σε περὶ ταῦτα τρι-
βόμενον καλαγηράσαι, καὶ τῷ Τιθωνῷ
βαρύτερόν τε, καὶ τῇ Κινύρᾳ πλου-
σιώτερον, καὶ τῷ Σαρδαναπάλῳ τρυ-
φερώτερον· ὅπως καὶ τὸ τῆς παροιμί-
ας ἐπὶ σοὶ πληρωθῇ, δὶς παῖδες οἱ γέ-
ροντες. Τὸ γὰρ φρῆδον, ἀδεὶς εἶπε
τῶν ἀρχαίων, ἐπὶ τῷ προφανῶς, ὥσ-
περ σὺ νῦν, ἐπὶ τὰς ἄλλας σοῦ τῆς ἐ-
πιστολῆς ἁμαρτίας. ἀδεὶς ἂν ἐξελθεῖν
ἐν μακρῷ πάνυ κύκλῳ δυνηθείη, καὶ
τὸ μαστροπὸν ἐκεῖνο καὶ βδελυρὸν ἦ-
θός, ὑφ' ὃ σεαυτὸν προαγωγεύεις.
Baros. Φῄς Οὐ γὰρ τοὺς ἐξ ἑτοίμου * * φη-
λοῖς ἥκοντας, * * ἀδὲ τοὺς ἐφελκυ-
σομένας ταῖς ἀρχαῖς, ἀλλὰ τοὺς βεβαίᾳ
Baroc. κατὰ τ. κρίσει χρωμένους, καὶ . . δὴ τοῦτο τὸ
δέον αἱρουμένους.

A non evasisse. Sed vides ut idem ille Momus, ob reliquum Veneris decorem invidia rumpebatur, & vix reperit quod in solea carperet? Hoc igitur optaverim, ut circa hujusmodi livore districtus consenescas, & Tithono gravior, & Cinyra opulentior, & Sardanapalo mollior; ut de te verissime dicatur, Bis pueri senes. Nec enim antiquorum ullus τὸ φρῆδον, ut rem manifestam significaret, usurpavit; B quod tu nunc facis inter cæteros epistolæ tuæ lapsus. Nemo denique, sermone quamvis longo, lenonios & impuros tuos mores queat explicare. Stas enim velut prostibulum, nec eos modo, qui te ultro adeunt, ductando captas * * * * nec eos solum, qui magistratus aucupantur; sed & eos qui firmo utuntur judicio, & per hoc rectum colunt. * * *

C

Ἰαμβλίχῳ. ξ'.

JAMBLICHO. LX.

Ἦλθες, καὶ ἐποίησας· ἦλθες γὰρ
δὴ καὶ ἀπὼν, οἷς γράφεις· ἐγὼ
δέ σε μὰ ἐμὰν ἣν δ' ἐφύλαξας, ἐ-
μὰν φρένα καμένην πόθῳ, ἀκὸν ἀ-
δὲ ἀρνοῦμαι τὸ φίλτρον, ἀδὲ ἀπολεί-
πω σε καθ' ἡδέν· ἀλλὰ καὶ ὡς πα-
ρόντα τῇ ψυχῇ θεωρῶ, καὶ ἀπόντι
σύνειμι· καὶ ἀδὲν ἱκανόν ἐσί μοι πρὸς
κόρον ἀρκέσαι. καίτοι σύγε ἀκ ἀνί- D
ης καὶ παρόντας εὖ ποιῶν ἀεὶ, καὶ
ἀπόντας ἀκ εὐφραίνων μόνον οἷς γρά-
φεις, ἀλλὰ καὶ σώζων. Ὅτε γοῦν
ἀπήγγειλέ μοί τις ἔναγχος, ὡς
παρὰ σοῦ γράμματα κομίσας ἑτᾶ-
ρος ἥκοι, ἐτύγχανον μὲν ἐν ἀηδίᾳ
τοῦ στομάχου τριταίῳ ἤδη καθεστώς·
καίτοι κὴ περιαλγῶς ἔχων τοῦ σώμα-
τος, ὡς μηδὲ ἔξω πυρετοῦ μεῖναι· ση-
μανθὲν δὲ, ὡς ἔφην, ὅτι μοι πρὸς ταῖς

VEnisti, & fecisti. Nam & absens per eas, quas scribis, litteras venisti. Ego vero te, per meam, quam tu servasti, meam, inquam, mentem ardentem desiderio, nec amorem inficior, nec te ulla re desero; sed tanquam præsentem contemplor animo, & cum absente versor: nec est quicquam quod me plene satiare possit. Verum tu neque de præsentibus bene merendi finem facis; nec absentes cum oblectare scriptis tuis, tum salutem iis afferre desinis. Cum igitur mihi nuper nunciasset aliquis, advenisse sodalem, qui a te litteras afferret: quamvis tertium jam diem stomacho laborarem, & affecta essem valetudine, ut nec extra febrem consisterem; sed cum mihi, ut dixi, significatum esset, adesse præ foribus, qui a te litteras

teras haberet; ſtatim velut impotens mei, & furore quodam inſtinctus, exiliensque, nec miniſtris expectatis, obviam erupi. Ut autem epiſtolam in manus tantummodo ſumſi, (Deos ipſos, & illud meum, quo in te ſum inflammatus, deſiderium teſtor) repente fugiſſe dolores omnes, ac me febrim reliquiſſe, velut manifeſta ſalutaris cujusdam numinis præſentia pudefactam. Poſtquam vero reſignatam legere cœpi; quo me tandem animo fuiſſe tunc exiſtimas, aut quantam cepiſſe voluptatem, cum amiciſſimum, ut ais, meum, & ad amores reipſa factum, ac rerum præclararum adminiſtrum, impenſe collaudarem, ac merito diligerem; quod perferendis ad me litteris tuis operam navaverat, easque more volucris ad nos ſecundo ac proſpero vento direxerat: quæ mihi non ſolum oblectationem attulerunt, quod ex ipſis in illo, quem par erat, ſtatu res tuas eſſe cognovi: ſed ægrotanti quoque ſalutem ac ſoſpitatem reddiderunt? Jam quod ad cætera ſpectat; quis animi mei affectus fuerit, cum primum epiſtolam illam legi, qua tandem oratione conſequar? aut quemadmodum amorem meum idoneis verbis explicem? Quoties me ad initium a fine revocavi? quoties veritus ſum, ne imprudens totam legendo percurrerem? quoties, velut in circulo quodam ac ſtrophæ ambitu, finem & clauſulam ad principium retraxi; ſic tanquam in muſico cantu idipſum, a quo carmen exordium ceperat, modulationis in fine repeterem? Vel illa, quæ deinde conſecuta ſunt? quoties ad os meum epiſtolam admovi, ſicut matres filiolos ſuos exoſculantur? quoties ad idem meum os adhæſit, tanquam ſuaviſſimam meam amaſiam complecterer? quoties inſcriptionem ipſam, quam velut manifeſto ſigillo, tuapte manu obſignaveras, blande com-

A θύραις ὁ τὰ γράμματα ἔχων εἴη· ἐγὼ μὲν, ὥσπέρ τις ἀκρατὴς ἐμαυτῦ, καὶ κάτοχος, ἀναπηδήσας ἥιξα πρὶν ὅτι δέοι παρεῖναι. Ἐπεὶ δὲ καὶ ἔλαβον εἰς χεῖρας τὴν ἐπιστολὴν μόνον, ὀμνύω τὰς θεὰς αὐτὰς, καὶ τὸν ἐπί σοί με ἀνάψαντα πόθον, ὡς ἅμα τε ἔφυγον οἱ πόνοι, καί με καὶ ὁ πυρετὸς ἀνῆκεν εὐθὺς, ὥσπέρ τινι τῦ σωτῆρος ἐναργεῖ παρουσίᾳ δυσωπύμενος. Ὡς

B δὲ καὶ λύσας ἀνέγνων, τίνα με ἡγῇ ψυχὴν ἐσχηκέναι τότε, ἢ πόσης ἡδονῆς ἀνάπλεων γεγενῆθαι τὸν φίλτατον, ὡς φῄς, ἂν ἐμὸν, τὸν ἐρωτικὸν ἀληθῶς, τὸν διάκονον τῶν καλῶν, ὑπερεπαινῦντά τε, καὶ φιλῦντα δικαίως, ὅτι μοι τῶν παρὰ σῦ γραμμάτων ὑπηρέτης γέγονεν· οἱονεὶ πλοῦν δίκην ἡμῖν τὴν ἐπιστολὴν διευθύνας, ἠρίῳ τε καὶ πομπίμῳ πνεύ-

C ματι· δι' ἧς οὐ μόνον ὑπῆρξεν ἡσθῆναί μοι τὰ εἰκότα περὶ σῦ γνόντι, ἀλλὰ καὶ αὐτῷ κάμνοντι παρὰ σῦ σωθῆναι; Τά γε μὴν ἄλλα, πῶς ἂν πρῶτον πρὸς τὴν ἐπιστολὴν ἔπαθον εἴποιμ' ἄν, ἢ πῶς ἂν ἀρκούντως ἐμαυτῦ τὸν ἔρωτα καταμηνύσαιμι; ποσάκις ἂν ἔδραμον εἰς ἀρχὴν ἐκ μέσυ; ποσάκις ἔδεισα μὴ πληρώσας λάθω; ποσάκις, ὥσπερ ἐν κύκλῳ τινὶ, καὶ στροφῆς περιόδῳ, τῦ συμπεράσματος τὸ πλήρωμα πρὸς τὴν ἀρ-

D χὴν ἀνέλκων, οἷον ἐν ᾄσματι μυσικῷ, ταὐτὸν τῦ ῥυθμῦ τῷ τελεῖ, τὸ πρὸς τὴν ἀρχὴν ἡγύμενον μέλος ἀντιδιδῦς. ἢ καὶ, νὴ δία, τὰ ἑξῆς τύτων· ὁσάκις μὲν τῷ στόματι τὴν ἐπιστολὴν προσήγαγον· ὥσπερ αἱ μητέρες τὰ παιδία προσπλέκουσαι. ὁσάκις δὲ ἀνεφύη τῷ στόματι, καθάπερ ἐρωμένην ἐμαυτῦ φιλάτην ἀσπαζόμενος· ὁσάκις δὲ τὴν ἐπιγραφὴν αὐτὴν, ἢ χειρὶ σῇ, καθάπερ ἐναργεῖ σφραγῖδι, σεσήμανλο, προσευ-

ὠὴ καὶ Φιλήσας· εἶτα ἐπέβαλον A pellavi, ſuaviatusque ſum? tum oculis im-
τοῖς ὀφθαλμοῖς, οἱονεὶ τοῖς τ' ἱερᾶς poſui, quaſi ſacræ illius dextræ digitis in
ἐκείνης δεξιᾶς δακτύλοις, ἐν τῷ τῶν iſtis litterarum veſtigiis affixus. Tu vero
γραμμάτων ἴχνει προσπεφυκώς· nobis & ipſe plurimum ſalve; (ut egregia
χαῖρε δὲ ἡμῖν πολλά· καθάπερ ἡ καλὴ Σαπφὼ φησι· illa Sappho loquitur) nec pro ratione mo-
ἡμᾶς δὴ ἰσάριθμα μόνον τῷ χρόνῳ, οὐ ἀλλήλων do temporis ejus, quo invicem abjuncti
ἀπελείφθημεν, ἀλλὰ καὶ ἀεὶ χαῖρε, ſumus, ſed perpetuo ſalve ac ſcribe, &,
καὶ γράφε, καὶ μέμνησο ἡμῶν τὰ εἰκό- quantum par eſt, memento noſtri. Nam
τα. Ὡς ἡμᾶς γε δὴ ἐπιλείψει χρό- quod ad me attinet, nullum tempus erit,
νος, ἐν ᾧ σε μὴ πάντα, καὶ ἐν παντὶ καιρῷ, καὶ λόγῳ διὰ μνήμης ἕξομεν. ἀλ- B ac ſermone meminerim. Quod ſi un-
λήλων δέ ποθι Ζεὺς δοίη ἱκέσθαι ἐς quam Jupiter dederit contingere patriam
πατρίδα γαῖαν, καί σε τὴν ἱερὰν ἐ- terram, ac tuos illos ſacros penates ſubi-
κείνην ἑσίαν αὖθις ὑπέλθοιμεν, μὴ φεί- re liceat; noli, tanquam fugitivo, dein-
σῃ λοιπὸν, ὡς φυγάδος· ἀλλὰ δῆσον, ceps parcere, ſed ad jucundiſſima tua ſub-
εἰ δοκεῖ, πρὸς τοῖς ἑαυτῆ θώκοις τοῖς ſubſellia, non ſecus ac deſertorem Mu-
φιλτάτοις, ὥσπέρ τινα Μουσῶν λει- ſarum a fuga retractum, ſi videtur, alliga:
ποδάκτην ἑλών· εἶτα τοῖς εἰς τιμωρίαν tum pro ejus merito caſtigatum admone.
ἀρκέσει παιδεύων. Πάντως ὅτε ἄ- Equidem ultro, ac gaudens, nedum invi-
κων ὑποσήσομαι τὴν δίκην· ἀλλ' ἑκὼν tus, pœnas iſtas, tanquam ab optimo pa-
δὴ, καὶ χαίρων. ὥσπερ ἀγαθῆ πατρὸς tre, providam ac ſalutarem emendationem
ἐπανόρθωσιν προμηθῆ καὶ σωτήριον· εἰ C excipiam. Sin eſt ut mihi de me, qualem-
δή μοι καὶ ταύτῃ τὴν κρίσιν ἐθέ- cunque velim, ſententiam ferre permittas:
λοις πιστεῦσαι, καὶ δίδως ἐνεγκεῖν ἣν hoc mihi, præſtantiſſime vir, libenter impo-
βάλομαι, ἑμαυτὸν, ὦ γενναῖε, τῷ σῷ nam, ut ad tuniculam tuam adhæreſcam,
χιτωνίσκῳ προσάψαιμι ἂν ἡδέως· ἵνα nec a te ullo tempore divellar: ſed una te-
σοὶ καλὰ μηδὲν ἀπολειποίμην· ἀλλὰ cum aſſidue verſer, & ubique ſim appli-
συνεῖην ἀεὶ, καὶ πανταχῆ προσφεροί- citus: cujusmodi ſunt, quos biformes
μην· ὥσπερ δὴς οἱ μῦθοι διφυεῖς ἀν- fingunt fabulæ. Niſi id iſtæ ludentes for-
θρώπους πλάττουσιν. εἰ μὴ καὶ ἐκεῖνο taſſe prædicant, quod ſingularis cujusdam
οἱ μῦθοι λέγουσι μὲν ὡς παίζοντες, amicitiæ ſignificationem habeat: ut in
αἰνίττονται δὲ εἰς τὸ τῆς φιλίας ἐξαί- communionis illius vinculo naturæ in am-
ρετον, ἐν τῷ τῆς κοινωνίας δεσμῷ, τὸ borum animis conſenſionem exprimant.
δὶ ἑκατέρου τῆς ψυχῆς ὁμογενὲς ἐμ- D
φαίνοντες.

Τῷ αὐτῷ.

ξά.

Ἱκανὴν ὁμολογῶ τῆς σῆς ἀπολείψε- Satis magnas pœnas abjunctionis abs te
ως ἐκτετικέναι δίκην· οὐ μόνον οἷς πα- meæ dediſſe me fateor: non ob eas
ρὰ τὴν ἀποδημίαν ἀνιαροῖς συνηνέ- moleſtias ſolum, quas in peregrinatione
χθην· ἀλλὰ γὰρ καὶ αὐτῷ τούτῳ iſta ſum expertus; ſed hujus unius rei ma-

EIDEM.

LXI.

xime

xime cauſſa, quod tanto abs te ſum tempore divulſus. Quanquam & multis & variis fortunæ caſibus ubique conflictatus fuerim, ſic ut nullius non periculum facerem. Verum cum & bellorum tumultus ac ſtrepitus, & obſidionis neceſſitatem, & errores fugæ, & varios metus, & aſperas ac rigidas hyemes, & morborum pericula, & innumerabiles ac diverſas calamitates, quæ me a ſuperiore Pannonia ad freti Calchedonii trajectum usque comitatæ ſunt, hactenus exhauſerim; nihil tamen peræque mihi acerbum ac triſte contigiſſe dixerim, atque illud unum, quod ab Oriente digreſſus Græcorum te commune bonum tam longo tempore non vidi. Noli itaque mirari, ſi neſcio quam caliginem adhuc offuſam eſſe meis oculis, & denſiſſimam nubem obductam dixerim. Tunc enim profecto & aër mihi ſerenus, & lux ſole ipſo ſplendidior, & velut formoſiſſimum ver quoddam vitæ reſtituetur; cum te magnum terrarum orbis ſimulacrum complecti potero: ac, quemadmodum bono parenti germanus filius, e bello marisve fluctibus præter ſpem conſpectus, quæcunque ſum perpeſſus, ac quibus perfunctus periculis, exponens, & quaſi in ſacra ancora ſtans, idoneum ſolatium calamitatum mearum reperiam. Habet enim in acerbitatum communione ipſa conſolationis aliquid, & ad mitigandas ærumnas pertinet, cum ea, quæ perpeſſus eſt aliquis, in aliorum effundit aures, & laborum ſuorum notitiam impertitur. Ego vero quibus poſſum te officiis interim proſequor, nec unquam ad te ſcribere, ac tempus hoc totum, quo a te abfui, epiſtolarum illa veluti teſſera compenſare deſinam. Quod ſi parem de te gratiam impetrare potuero, nonnihil ſe dolor meus remittet, cum litteras tuas tanquam ſalutare quoddam omen adhibuero. Tu vero fac ut & meas benevole & humaniter accipias; & ad

πλέον, ὅτι σᾶ τοσᾶτον ἀπελείφθην χρόνου: καίτοι πολλαῖς ἢ ποικίλαις πανταχᾶ χρησάμενος τύχαις· ὡς μὴ ἀπείρατον καταλιπεῖν. Ἀλλὰ ἢ πολέμων θορύβας, ἢ πολιορκίας ἀνάγκην, ἢ φυγῆς πλάνην, ἢ φόβας παντοίας· ἔτι δὲ χειμώνων ὑπερβολὰς, ἢ νόσων κινδύνας, καὶ τὰς ἐκ Παννονίας τῆς ἄνω μέχρι τᾶ κατὰ τὸν Καλχηδόνος πορθμὸν διάπλω, μυρίας δὴ ἢ πολυτρόπους συμφορὰς ὑπομείνας, οὐδὲν ὅτω λυπηρὸν, οὐδὲ δυσχερὲς ἐμαυτῷ συμβεβηκέναι φαίην ἄν, ἢ ὅτι σε τὸ κοινὸν τῶν Ἑλλήνων ἀγαθὸν ἐπὶ τοσούτῳ χρόνῳ τὴν ἑῴαν ἀπολιπὼν οὐκ εἶδον· ὡς εἴπερ ἀχλύν τινα τοῖς ἐμοῖς ὀφθαλμοῖς ἔτι, καὶ νέφος πολὺ περικεῖσθαι λέγοιμι, μὴ θαυμάσῃς. Τότε γὰρ δή μοι ἢ ἀὴρ εὔδιος, καὶ φέγγος ἡλίου λαμπρότερον, ἢ οἷον ἔαρ ἀληθῶς τᾶ βίου περιήξει κάλλιστον, ὅταν σε τὸ μέγα τῆς οἰκουμένης, ἄγαλμα περιπλύξωμαι, καὶ καθάπερ ἀγαθῷ πατρὶ παῖς γνήσιος ἐκ πολέμου τινὸς, ἢ διαπόντιου κλύδωνος ἀνελπίστως ὀφθεὶς, εἶτα ὅσα ἔπαθον, ἢ δι' ὅσων ἦλθον κινδύνων εἰπὼν, ἢ οἷον ἐπ' ἀγκύρας ἱερᾶς ὁρμιζόμενος, ἀρκέσαν ἤδη παραψυχὴν τῶν ἀλγεινῶν εὕρωμαι. Παραμυθεῖται γὰρ, ὡς εἰκὸς, καὶ ἐπικουφίζει τὰς συμφορὰς, ὅταν τις ἃ πέπονθεν εἰς τὰς ἄλλους ἔκφορα καθιστὰς, διανέμῃ τᾶ πάθους τὴν γνῶσιν, ἐν τῇ κοινωνίᾳ τᾶ πάθους· τέως γε μὴν οἷς ἔχω σε κατὰ δύναμιν τὴν ἐμὴν μέτειμι, καὶ γράφων οὐ παύσομαι, καὶ τὸν ἐν μέσῳ ἀπολείψεως χρόνον ἐν τῷ τῶν γραμμάτων θεραπεύων συνθήματι. Εἰ δὲ δὴ καὶ ἀντιτύχοιμι παρὰ σᾶ τῶν ἴσων, ὑφήσω τι καὶ μικρὸν, οἷον ἀντὶ σωτηρίου τινὸς συμβόλου τοῖς σοῖς ὁμιλῶν γράμμασι· σὺ δὲ δέχοιο μὲν εὐμενῶς τὰ παρ' ἡμῶν, καὶ

παρέχοις δὲ καὶ σεαυτὸν εἰς ἀμοιβὴν A mutui officii consuetudinem humaniorem
εὐμενέστερον· ὡς ὅ τι ἂν σημαίνῃς κα- te præbeas. Quicquid enim boni ac præ-
λὸν, ἢ γράφῃς, τὸν ἀντὶ τῆς Ἑρμοῦ clari significaris, aut scripseris, id ego velut
λογίου Φωνῆς, ἢ τῆς Ἀσκληπιοῦ χει- Mercurii doctrinarum præsidis vocem, vel
ρὸς παρ' ἡμῶν κρίνεται. Æsculapii manum, esse judico.

FRAGMENTUM EPISTOLÆ.

ξϚ'. LXII.

* * * * * * * *

Τοῦθ' ὅπερ ὑπάρχει τοῖς ξύλοις, B HOc ipsum, quod lignis tribuitur, non-
οὐκ ἄξιόν ἐστι νέμειν ἀνθρώποις; ne hominibus concedere oportet? Et-
ὑποκείσθω γὰρ ἄνθρωπος ἱερωσύνης enim cogitemus hominem, qui sacerdotio
ἀντειλῆφθαι, τυχὸν δὴ ἀξίως· οὐ potitus sit forsitan indignus: nonne tantis-per
χρὴ φείδεσθαι μέχρι τοσούτου, μέχρις ei parcendum est, dum ipsius improbitate
ἂν ἐπιγνόντες ὡς πονηρός ἐστι, τῆς comperta, primum a sacra functione re-
λειτουργίας αὐτὸν ἐξέλαντες, τὸ προ- moveatur; tum deinde nomen ipsum Sa-
πετῶς ἴσως προσκείμενον ὄνομα τοῦ ἱερέ- cerdotis temere huic impositum contume-
ως ὑπεύθυνον ἀποδείξωμεν ὕβρει, καὶ liæ, supplicio, pœnæque subjiciatur? Hæc
κολάσει, καὶ ζημίᾳ; Ταῦτα εἰ μὲν si non intelligis, ne rem quidem ullam cæ-
ἀγνοεῖς, οὐδὲ τῶν ἄλλων ἔοικας εἰδέναι terarum tenes, etiam mediocrium. Quam
τι τῶν μετρίων· ἐπεὶ σοὶ πῶς μέτεστιν C enim juris atque æqui peritiam obtines,
ἐμπειρίας ὅλως τῶν δικαίων, ὃς οὐκ οἶ- qui nondum scis quid sacerdos sit,
δα τί μὲν ἱερεύς, τί δὲ ἰδιώτης; πῶς quid privatus? Quam tu vero mo-
δέ σοι μέτεστι σωφροσύνης, ἣν περ derationem habes animi, si eum male
ἡμίσου τούτου, ᾧ καὶ θώκων ἐχρῆν ἐξ- mulctaveris, cui te vel decebat assurgere,
ανίστασθαι; τὸ αἰσχρὸν ἁπάντων, καί ac loco cedere? Est id ex omnibus longe
σοι μάλιστα μή τε πρὸς θεοὺς, μή τε turpissimum; neque tibi præsertim, vel
πρὸς ἀνθρώπους ἔχον καλῶς. Οἱ Deorum, vel hominum caussa satis deco-
μὲν τῶν Γαλιλαίων ἴσως ἐπίσκο- rum. Ac Galilæorum quidem Episcopi
ποι καὶ πρεσβύτεροι συγκαθίζουσί & Presbyteri tibi fortassis assident: idque
σοι· καὶ εἰ μὴ δημοσίως δι' ἐμὲ, λάθρα, καὶ ἐν τῷ οἴκῳ· διά σε τέτυ- D ut non publice propter me, at clanculum
πται δὲ ὁ ἱερεύς. οὐ γὰρ ἂν ἦλθεν domique per te impune faciunt. Interim
ἐπὶ ταύτην ὁ παρ' ὑμῖν ἀρχιερεὺς νῦν Sacerdos vapulat. Nam nisi ita res habe-
δίκην τὴν δεῆσιν. Ἀλλ' ἐπειδή σοι πέ- ret, non sic vester ille Pontifex mihi sup-
φηνε μυθώδη τὰ παρ' Ὁμήρῳ· τῶν plicasset. Et quoniam Homerica illa fa-
τοῦ Διδυμαίου δεσπότου χρησμῶν bulosa tibi videntur, audi Apollinis ora-
ἐπάκουσον, εἴ σοι φανείη πάλαι cula Didymæi; ac vide num recte olim
μὲν ἔργῳ νουθετήσας καλῶς τοὺς quidem reipsa Græcos admonuerit, postea
Ἕλληνας, ὕστερον δὲ τοὺς σωφρονοῦν- vero frugi ac moderatos homines sermo-
τας διδάσκων τοῖς λόγοις· ne docuerit:

Quicunque

Quicunque in ſacerdotes, ſuperbia mentis,
Deorum immortalium, ſtolida perpetrant, & honoribus
Contraria conſulunt contemtricibus Deum cogitationibus;
Non jam illi totum vitæ conficiunt iter,
Quicunque beata contumeliis affecerunt numina,
Quorum iſti religioſum ſuſceperunt cultum & honorem.

Hic nimirum Deus non eos, qui ſacerdotes pulſant, aut contumelioſe tractant; ſed qui debitis illos honoribus privant, Deorum inimicos eſſe pronunciat. Quare qui verberat, merito ſacrilegus habeatur. Ego itaque, quoniam patriorum ſacrorum maximus ſum Pontifex, & oraculi Didymæi præfecturam modo ſum ſortitus; edico tibi, ne quid eorum, quæ ad ſacerdotem pertinent, tribus totis menſibus attingas. Quod ſi intra hoc ſpatium dignus eſſe videbere, poſtquam a civitatis antiſtite ſuper ea re litteras accepero, utrum ſis admittendus, cum Diis poſtea deliberabo. Hanc tibi pœnam tuæ temeritatis impono. Ad ea quondam veteres Deorum execrationes ſolebant verbis ac ſcriptis adjungere. Hoc tamen ego nequaquam recte habere judico: quippe nunquam a Diis ipſis factum videtur. Et alioqui precum eſſe noſtrarum adminiſtros *ſacerdotes, quandoquidem novi*; tua id gratia tecum a Diis poſtulo, ut cum aſſiduus in iis exorandis fueris, eorum veniam impetres, quæ perperam admiſiſti.

Ὅσοι ἐς ἀρητῆρας ἀταθαλίῃσι νόοιο,
Ἀθανάτων ῥέζθσ' ἀποφώλια, καὶ γεράεσσιν
Ἀντία βθλεύθσιν ἀθεισιθέοισι λογισμοῖς,
Οὐκέθ' ὅλην βιότοιο διεκπερόωσιν ἀταρπόν·
Ὅσοι περ μακάρεσσιν ἐλωβήσαντο θεοῖσιν,
Ὧν κεῖνοι θεόσεπτον ἔλον θεραπηίδα τιμήν.

ὁ μὲν ἂν θεὸς, ὃ τὺς τύπλοντας, ὃδὲ ὑβρίζοντας, ἀλλὰ τὺς ἀποσερθντας τῶν τιμῶν, εἶναι [φησὶ] τοῖς θεοῖς ἐχθρός· ὁ δὲ τυπτήσας, ἱερόσυλος ἂν ἔτι. Ἐγὼ τοίνυν ἐπειδή περ εἰμι κατὰ μὲν τὰ πάτρια μέγας ἀρχιερεύς· ἔλαχον δὲ νῦν καὶ τὸ Διδυμάϊθ προφητεύειν, ἀπαγορεύω σοι τρεῖς περιόδους σελήνης μή τοι τῶν εἰς ἱερέα μηδὲν ἐνοχλεῖν· εἰ δὲ ἐν τύτῳ τῷ χρόνῳ φανείης ἄξιος, ἐπισείλαντός μοι τὸ τῆς πόλεως ἀρχιερέως, εἰ παραδεκτὸς εἴης ἡμῖν, ἐσαῦθις μετὰ τῶν θεῶν βθλεύσομαι; ταύτην ἐγώ σοι τῆς πρυπετείας ἐπιτίθημι ζημίαν. Τὰς δὲ ἐκ τῶν θεῶν ἀρὰς, πάλαι μὲν εἰώθεσαν οἱ παλαιοὶ λέγειν καὶ γράφειν· ὃ μὴν ἔμοί γε φαίνεται καλῶς ἔχειν· ὃδαμῶ γὰρ αὐτὸ πεποιηκότες οἱ θεοὶ φαίνονται. καὶ ἄλλως εὐχῶν εἶναι διακόνως ἡμῶν [τὺς ἱερέας] ὅθεν οἶμαι, καὶ συνεύχομαί σοι πολλὰ λιπαρήσαντι τὺς θεὺς, ἀδείας τυχεῖν ὧν ἐπλημμέλησας.

Ἰουλιανὸς Καῖσαρ Θεοδώρῳ ἀρχιερεῖ.

A JULIANUS CÆSAE THEODORO PONTIFICI.

ξγ.

LXIII.

Ἐμοὶ πρός σε πεπόιηται παρὰ τὰς ἄλλας ἰδιαίτερον ἐπιστολῆς εἶδος, ὅτι σοι καὶ πλέον μέτεστι τῆς πρὸς ἐμὲ φιλίας, ἢ περ οἶμαι τοῖς ἄλλοις. Ἔστι γὰρ ἡμῖν ὁ κοινὸς καθηγεμὼν ὀ μικρὰ· καὶ μέμνησαι δήπου. Χρόνος δὲ ὀλιγαχὺς, ὅτε διατρίβων ἔτι ἐς τὴν B ἑσπέραν, ἐπειδή σε λίαν ἀρέσκειν ἐπυθόμην αὐτῷ, φίλον ἐνόμισα· καί τοι συμβαίνειν ἔχον ἐκεῖνο καλῶς εἰωθεν ἐμοὶ διὰ περιστὴν εὐλάβειαν· τὸ σὲ γὰρ εἶδος ὐδὲ εἶδον· καὶ ὡς ἡγεῖσθαι χρὴ φιλίας μὲν, γνῶσιν, γνώσεως δὲ, πεῖραν. ἀλλ' ἦν τις, ὡς ἔοικεν, ὀλίγος παρ' ἐμοὶ λόγος, καὶ τοῦτο αὐτὸς ἔφης. διόπερ ἐγὼ καὶ τότε σε τοῖς γνωρίμοις ὤμην δεῖν ἐγκαταλέγειν· καὶ νῦν ἐπιτρέπω πρᾶγμα, ἐμοὶ μὲν φίλον, ἀνθρώ- C ποις δὲ πᾶσι πανταχοῦ λυσιτελέστατον. Σὺ δὲ καλῶς, ὥσπερ ἦν ἄξιον ἐλπίζειν, αὐτὸ μεταχειρίσαιο, πολλὴν μὲν εὐφροσύνην ἐνταῦθα παρέξων· ἐλπίδα δὲ ἀγαθὴν μείζονα τὴν εἰς τὸ μέλλον. Οὐ γὰρ δὴ καὶ ἡμεῖς ἐσμεν τῶν πεπεισμένων, τὰς ψυχὰς ἤτοι προαπόλλυσθαι τῶν σωμάτων, ἢ συναπόλλυσθαι. πειθόμεθα δὲ τῶν μὲν ἀνθρώ- D πων ὐδενὶ· τοῖς θεοῖς δὲ μόνον, ὃς καὶ μάλιστα ταῦτα εἰκὸς εἰδέναι μόνους, εἴ γε χρὴ καλεῖν εἰκὸς τὸ ἀναγκαῖον· ὡς τοῖς μὲν ἀνθρώποις ἁρμόζει, περὶ τοιούτων εἰκάζειν, ἐπίστασθαι δὲ αὐτὰ τοὺς θεοὺς, ἀνάγκη. Τί ποτ' ἔν ἐστιν ὃ φημί σοι νῦν ἐπιτρέπειν; ἀρχὴν τῶν περὶ τὴν Ἀσίαν ἱερῶν ἁπάντων, ἀρχόμενος τῆς χώρας ἢ τῶν πόλεων ἱερέων, ἢ ἀπονέμων τι τὸ πρέπον ἑκάστῳ. Ἐπιείκεια μὲν πρῶτον

Mihi ad te *specialius quoddam*, quam *ad alios*, *conscriptum est epistolæ genus*; & *ideo quidem*, *quod tibi mecum*, *ut arbitror*, *major quam cum aliis amicitiæ usus intercedit*. *Neque parum est*, *quod nobis communis sit ductor*, & *cujus rei memineris utique*. *Non diu vero est*, *quod ad vesperam usque cum eo versari*, *quandoquidem te valde ei gratum esse intellexi*, *mihi apprime fuit jucundum*. *Et ut illud mihi contingeret*, *optimum mihi visum est propter majorem cautelam*. *Tuum enim vultum haud equidem vidi*; *amicitiam autem præcedere debet cognitio*, *cognitionem vero probatio*. *Sed fuit ejus haud exiguus apud me sermo*, & *qualem tu ipse proferre visus es*. *Quapropter ego & inter notos referre te continuo debere censui*: & *nunc tibi rem committo*, *mihi quidem jucundam*, *omnibus vero hominibus futuram utique utilissimam*. *Tu autem præclare*, *prout id sperare decet*, *illud suscipe*; *multam quidem inde voluptatem*, *majorem vero in futurum spem fovens*. *Neque enim sumus ex eorum numero*, *qui animas vel ante corpora*, *aut cum corporibus*, *interire statuunt*. *Nulli vero inter homines de hisce fidem habemus*, *solum autem Diis*; *quos* & *solos apprime par est hæc scire*, & *si par est*, *licet vocare*, *quod est necessarium*: *nam hominibus quidem convenit*, *de iis rebus conjicere*; *scire autem illa Deos*, *est necesse*. *Quid ergo illud est*, *quod dico me velle nunc tibi commitere*? *ut omnibus nempe Asiæ sacris præsis*, *regionis* & *urbium sacerdotibus imperes*, *ac distribuas unicuique id quod ei convenit*. *Moderatio ante omnia antistiti*

sacrorum

ſacrorum, benignitas vero inſuper & humanitas ergo eos adſit, qui merentur iis frui. Qui vero injuſte ſe erga homines gerit, iniquus eſt erga Deos: temerarius vero in omnes, aut libere monendus eſt, aut graviter puniendus. Qualia vero oporteat de ſacris omnibus in commune convenientiſſime decernere, quamprimum ea cum aliis deprehenduntur; pauca vero interea volo hic tibi proponere, idoneus autem tu es qui de iis mihi fidem habeas. Neque enim plura id genus, ut omnes Dii norunt, temere effutio; ſed, ſi quis alius, circumſpecte in iis verſor, & novitatem quidem in omnibus, ut dici ſolet, fugio, in iis vero ſpeciatim, quæ Deos reſpiciunt: illud ratus, debere nos ante omnia patrias obſervare leges, quas certum eſt nobis a Diis datas. Neque enim exiſterent adeo præclaræ, ſi ab hominibus forent ſimpliciter profectæ. Contigit vero illas negligi & corrumpi, divitiis ac luxu prævalentibus, unde arbitror oportere tanquam a laribus [h. e. ab initio] earum curam geri. Quum enim viderem magnam nobis circa Deorum cultum negligentiam, omnem autem erga ſuperos reverentiam impuris delitiis profligatam; ſemper ego equidem hæc apud me deplorabam. Eos enim, qui in impiorum ſecta eminent, fervidos adeo eſſe, ut eligant quidem pro ea mortem obire, omnemque inopiam & famem ferre, ne ſuillis, aut ſuffocato, aut etiam morticinio veſcantur: nos autem adeo ſegniter erga Deos adfici, ut patriarum etiam legum oblivi ſcamur, ignoremus præterea, ſi unquam tale quid fuerit præſcriptum. Sed illi quidem impii, ex parte Dei cultores exiſtunt, quandoquidem illum colunt, qui re-

ἄρχοντι, ἡ χρησότης τε ἐπ' αὐτῇ καὶ φιλανθρωπία πρὸς τὰς ἀξίας αὐτῶν τυγχάνειν. Ὡς ὅσις γε ἀδικεῖ μὲν ἀνθρώπους, ἄνομός ἐστιν πρὸς θεούς, θρασὺς δὲ πρὸς πάντας, ἢ διδακτέος μετὰ παῤῥησίας ἐστὶν, ἢ μετ' ἐμβριθειάς κολαστέος. Ὅσα μὲν οὖν χρὴ κοινῇ συντάξαι περὶ τῶν ἱερῶν ἁπάντων ἐντελέστερον, αὐτίκα μάλα σὺν τοῖς ἄλλοις εἰσί· μικρὰ δὲ τέως ὑποθέσθαί σοι βούλομαι, δίκαιος δὲ εἶ πείθεσθαί μοι τὰ τοιαῦτα. Καὶ γὰρ ὀδὲ ἀποσχεδιάζω τὰ πολλὰ τῶν τοιούτων, ὡς ἴσασιν οἱ θεοὶ πάντες· ἀλλὰ, εἴπέρ τις ἄλλος, εὐλαβής εἰμι, καὶ φεύγω τὴν καινοτομίαν ἐν ἅπασι μὲν, ὡς ἔπος εἰπεῖν, ἰδίᾳ δὲ ἐν τοῖς πρὸς τοὺς θεούς· οἰόμενος χρῆναι ἂν πατρίους ἐξ ἀρχῆς φυλάττεσθαι νόμους, ὧν ὅτι μὲν ἔδοσαν οἱ θεοὶ, φανερόν. οὐ γὰρ ἦσαν ἄτοπα καλοὶ, παρὰ ἀνθρώπων ἁπλῶς γενόμενοι. συμβαὶν δὲ αὐτοὺς ἀμεληθῆναι καὶ διαφθαρῆναι πλάτει καὶ τρυφῆς ἐπικρατησάντων, οἶμαι δεῖν ὥσπερ ἀφ' ἑστίας ἐπιμεληθῆναι τῶν τοιούτων· ὁρῶν ὂν πολλὴν μὲν ὀλιγωρίαν οὖσαν ἡμῖν πρὸς τοὺς θεούς, πᾶσαν δὲ εὐλάβειαν τὴν εἰς τοὺς κρείττονας ἀπεληλαμένην ὑπὸ τῆς ἀκαθάρτου τρυφῆς, ἀεὶ μὲν ὠδυράμην ἐγὼ κατ' ἐμαυτὸν τὰ τοιαῦτα. Τοὺς μὲν δυσσεβείας σχολῇ προσχόντας ὅτῳ διαφύρους, ὡς αἱρεῖσθαι μὲν ὑπὲρ αὐτῆς ἀποθνήσκειν, ἀνέχεσθαι δὲ πᾶσαν ἔνδειαν καὶ λιμὸν, ὑείων ὅπως μὴ γεύσωνται, μηδὲ πνικτοῦ, μήτ' ἄρα τοῦ ἀποθλιβέντος. Ἡμᾶς δὲ ὅτῳ ῥᾳθύμως τὰ πρὸς τοὺς θεοὺς διακειμένους, ὥστε ἐπιλελῆσθαι μὲν τῶν πατρίων· ἀγνοεῖν δ' λοιπὸν, εἰ καὶ ἐτάχθη πώποτέ τι τοιοῦτον. Ἀλλ' ὅτοι μὲν ἐν μέρει θεοσεβεῖς ὄντες, ἐπείπερ οὐ τιμῶσιν * ἀλλ' ἀληθῶς ὄντα δυνατώταλον καὶ ἀγα-

θώτατον, ὃς ἐπιτροπεύῃ τὸν αἰσθητὸν κόσμον. ὅπερ ἔυ οἶδ' ὅτι καὶ ἡμεῖς ἄλλοις θεραπεύομεν ὀνόμασιν· εἰκότα μοι δοκοῦσι ποιεῖν, τὰς νόμους μὴ παραβαίνοντες, ἐκεῖνο μόνον ἁμαρτάνειν, ὅτι μὴ καὶ τὰς ἄλλας θεὰς ἀρέσκοντες, αὐτῷ μάλιστα τῷ θεῷ θεραπεύουσιν· ἀλλ' ἡμῖν οἴονται τοῖς ἔθνεσιν ἀποκεκλεῖσθαι μόνοις, αὐτὰς, ἀλαζονείᾳ βαρβαρικῇ πρὸς ταυτηνὶ τὴν ἀπόνοιαν ἐπαρθέντες. ὡς ἐκ τῆς Γαλιλαίας δυσσεβεῖς, ὥσπερ τι νόσημα τῷ βίῳ τὴν ἑαυτῶν

A vera sit potentissimus & optimus, quique sensibilem mundum regit; qui equidem, ut optime novi, a nobis etiam aliis colitur nominibus. Unde consentanea videntur mihi facere, qui leges non transgrediuntur; in eo autem solum errare, quod & spreto aliorum Deorum cultu, ei maxime Deo inserviunt; nobis vero putant gentilibus so-
B lis eum occultari, seipsos barbara illa ostentatione ad hanc vesaniam efferentes. Quod impii Galilæi, tanquam quendam vitæ morbum

Desunt cætera in Græcis Juliani manuscriptis.

ΓΑΛΛΟΣ ΚΑΙΣΑΡ
Ἰουλιανῷ ἀδελφῷ χαίρειν.

GALLUS CÆSAR
JULIANO *fratri S. D.*

C

Ἡ γειτνίασις τῆς χώρας, λέγω δὲ τὴν Ἰωνίας, πλεῖστον ὅσον εἰς κέρδος ἡμᾶς ἤνεγκεν. ἀνιωμένους γὰρ ἡμᾶς, καὶ δυσχεραίνοντας ἐπὶ ταῖς πρώταις φήμαις παρεμυθήσατο. τί δέ ἐστιν ὃ λέγω, γνώσῃ. Ἦκεν εἰς ἡμετέρας ἀκοὰς ἀποσῆναι μέν σε τῆς προτέρας θρησκείας τῆς ἐκ προγόνων παραδοθείσης, ἐπὶ δὲ τὴν μάταιον δεισιδαιμονίαν ἐληλακέναι, οἴστρῳ τινὶ κακῷ συμβάλῳ εἰς τοῦτο ἐλαθέντα. Καὶ τί ἂν ἔμελλον πάσχειν δυσχεραίνων; ὡς εἰ μέν τι τῶν ἐν σοὶ καλῶν διαβοώμενον γνοίην, κέρδος οἰκεῖον ἡγοῦμαι· ἃ δέ τι τῶν δυσχερῶν, ὅπερ ἂν οἶμαι, ἐξίσης ζημίωμα μᾶλλον ἐμὸν νομίζω. Ἐπὶ τούτοις οὖν ἀνιώμενόν με ἡ παρουσία τοῦ πατρὸς ἡμῶν Ἀετίου εὐφράνεν, ἀπαγγέλλοντος μὲν ἐναντία, ἡμῖν δὲ εὐκτά. καὶ γὰρ σπουδάζειν σε ἔφη εἰς οἴκους εὐχῶν, καὶ μὴ πόρρω τῆς μνείας τῶν ἀθλητῶν ἀνδρῶν ἀποσπᾶσθαι, ὅλως δ' ἔχεσθαι διεβεβαιοῦτο τῆς θεοσεβείας τῆς ἡμετέρων. Ἐγὼ δέ σοι τοῦτ' ἂν

IOniæ provinciæ vicinitas maximum mihi lucrum attulit, quippe quem priore de te fama dolentem mœrentemque recreaverit. Quæ vero illa, quam dico, fama sit, audi. Ad aures meas pervenit, te, abdicata prima religione, quam a majoribus accepisti, ad inanem superstitionem deflexisse, impetu quodam pravoque consilio abreptum. Quid non mihi accidisse putas, cum tuam vicem dolerem? Nam sicut meum esse commodum
D reor, cum tua bona prædicari audio: ita mala, quæ Deus avertat, meum apprime damnum arbitror. Me igitur in eo mœrore jacentem communis pater Aëtius adveniens erexit; qui & plane contraria narravit, & mihi optatissima: te in domibus studiosè versari: a memoriis martyrum nunquam divelli, sed omnino Dei cultui addictum esse affirmavit. Ego tibi Homeri illam vocem ingero: *sic*

jaculare.

jaculare. Perge, inquam, ut cœpisti; atque hanc eis repende‖ voluptatem, qui te omni benevolentia complectuntur; illudque memoria retine, nihil religioni præferendum esse: nam virtus quo est perfectior, monet ut mendacii detestemur fallacias, veritatem autem consectemur: quod præcipue in pietate erga Deum curandum esse apparet. Multitudo dissidii origo, & perpetuitatis est labes: quod vero solum unumque est, atque potentia præditum, rerum omnium tenet imperium. Non, ut Saturni filii, sorte aut partitione; sed quia suapte natura principium est, & omnia potentia continet, non vi acquisita: nam ipsum ante omnia est. Hic procul dubio est Deus; quem debito cultu venerari oportet. Vale.

A εἴποιμι κατὰ τὸ Ὁμηρικὸν, Βάλλ' ὅ- Iliad. Θ v. 282.
τως· καὶ ἐπὶ τοιαύταις μνείαις εὖ-
φραινε τὰς ἀγαπῶντας, μεμνημένος
ὡς ἂν ἔσι τι θεοσεβείας ἀνώτερον. ἡ
γὰρ εἰς ἄκρον ἀρετὴ παιδεύει τὸ μὲν
ψεύδους ὡς ἀπατηλὸν μισεῖν, τὰ δὲ
ἀληθῆς ἔχεσθαι. ὅπερ μάλισα ἐν τῇ
περὶ τὸ θεῖον φαίνεται θρησκείᾳ.
Ὄχλος γὰρ πάντως φιλόνεικον κὴ
ἄσατον· τὸ δὲ μόνον σὺν ἑνὶ ὑπερ-
B γὸν ὄν, βασιλεύει τὰ παντός. οὐκ
ἐκ δασμῶ καὶ κλήρω, καθάπερ οἱ
Κρόνω παῖδες· ἀλλ' αὐτοαρχὴ ὄν, κὴ
κρατῶν τῶν ἁπάντων, ὐδὲ δεξά-
μενον βίᾳ ἕτερον, ἀλλὰ πρὸ πάντων
ὄν. τᾶτο ὄντως θεός. ὅν περ σὺν τῷ
ὀφειλομένῳ σεβάσμαι προσκυνεῖν
χρὴ. ἔρρωσο.

FINIS OPERUM JULIANI.